auderet id quod procaci adpetitione conceperat apertissima vi petere, ingeniosas comminiscitur captiones quibus nihil tale metuentem castitate imminueret genetricem: fit ex deo taurus et sub pecoris specie subsessoris animum atque audaciam celans in securam et nesciam repentina immittitur vi furens, agit incestius res suas et prodita per libidinem fraude intellectus et cognitus evolat. ardescit furiis atque indignationibus mater, spumat anhelat exaestuat nec fremitum continere tempestatemque irarum valens ex continua passione Brimo deinceps ut appelletur adsumpsit, neque alia cordi est res ei quin audaciam filii poenis quibus potis est persequatur. Iuppiter ... arietem nobilem bene grandibus cum testiculis deligit, exsecat hos ipse et lanato exuit ex folliculi tegmine. accedens maerens et summissus ad matrem et tanquam ipse sententia condemnavisset se sua, in gremium proicit {et iacit} hos eius. virilitate pignoris visa sumit animum mitiorem et concepti fetus revocatur ad curam: parit mensem post decimum luculenti filiam corporis, quam aetas mortalium consequens modo Liberam modo Proserpinam nuncupavit. quam cum verveceus Iuppiter bene validam, floridam et suci esse conciperet plenioris, oblitus paulo ante quid malorum et sceleris esset adgressus et temeritatis quantum, redit ad prioris actus, et quia nefarium videbatur satis patrem cum filia comminus uxoria coniugatione misceri, in draconis terribilem formam migrat, ingentibus spiris pavefactam colligat virginem et sub obtentu fero mollissimis ludit atque adulatur amplexibus. fit ut ipsa de semine fortissimi compleatur Iovis, sed non eadem condicione qua mater; nam illa filium reddidit lineamentis descriptam suis, at ex partu virginis tauri specie fusa Iovialis monumenta pellaciae. auctorem aliquis desiderabit rei: tum illum citabimus Tarentinum notumque senarium, quem antiquitas canit dicens "taurus draconem genuit et taurum draco". ipsa novissime sacra et ritus initiationis ipsius, quibus Sebadiis nomen est, testimonio esse poterunt veritati || (IV) Iul. Firm. Mat. De err. 18, 1 (115 Turcan) libet nunc explanare quibus se signis vel quibus symbolis in ipsis superstitionibus miseranda hominum turba cognoscat.

ger || **33** petere *Sabaeus* : peteret **P** || **35** speciem **P** || **36-37** incestus *Sabaeus, Reifferscheid* || **37-38** ardescet **P** : *corr.* **P**^{2} || **39** tempestate que **P** : *corr.* **P**^{1} | Brimo *Canter ex Clem. loc.* : primo **P** | *cf. Orph. Arg. 17 (fr. 99) et adn. ad loc.* || **40** appelletur *Meursius* : appellatur **P** : appellaretur *Ursinus* | quin] quam ut *Sabaeus, Reifferscheid* || **42** folliculi *Sabaeus* : polliculi **P** | accedit *Axelson* || **43** merens **P** : *corr.* **r** || **44** et iacit *secl. Reifferscheid, Orelli in app., tuetur Axelson* || **45** <mater> mitiorem *Castiglioni 'fortasse recte' Marchesi* | concepti *Ursinus* : concepit (e *in* i **P**^{2}) : concipit *Sabaeus* || **47** verveceus *Sabaeus* : virviriceus **P** || **49** astus *Meursius* || **51** ingenitibus **P** *corr.* || **52** feri *Ursinus, Reifferscheid* || **54** illam **P** | at *Sabaeus*, **r** : ad **P** | species est *Ursinus* : species *Elmenhorstius* || **55** au^{c}torem **P** | desiderabit *Sabaeus* : desideravit **P** | tum] notum *Kirschwing* || **56** citabimus (b *ex* v) **P** | Tarentinum] tritum *Ursinus* | Tarentinum notumque] Tarentini Rhinthonis *coni. Reifferscheid* | a^{n}tiquitas **P** || **58** Sabadiis

habent enim propria signa, propria responsa, quae illis in istorum sacrilegiorum coetibus diaboli tradidit disciplina. in quodam templo, ut in interioribus partibus homo moriturus possit admitti, dicit: "de tympano manducavi, de cymbalo bibi et religionis secreta perdidici", quod Graeco sermone dicitur: ἐκ τυμπάνου βέβρωκα, ἐκ κυμβάλου πέπωκα, γέγονα μύστης Ἄττεως || (V) Iul. Firm. Mat. De err. 10, 2 (100 Turcan) Sebazium colentes Iovem anguem cum initiant per sinum ducunt || (VI) Iul. Firm. Mat. De err. 26, 1 (139 Turcan) sequitur adhuc aliud symbolum quod pro magno miserorum hominum credulis auribus traditur: ταῦρος δράκοντος καὶ ταύρου δράκων πατήρ.

590 T

Clem. Alex. Protr. 2, 22, 3 (31 Marc.), cf. Euseb. Praep. Ev. 2, 3, 38 νόμος οὖν καὶ ὑπόληψις κενὴ καὶ τοῦ δράκοντος τὰ μυστήρια ἀπάτη τίς ἐστιν θρησκευομένη τὰς ἀμυήτους ὄντως μυήσεις καὶ τὰς ἀνοργιάστους τελετὰς εὐσεβείαι νόθωι προστρεπομένων. οἷαι δὲ καὶ αἱ κίσται αἱ μυστικαί; δεῖ γὰρ ἀπογυμνῶσαι τὰ ἅγια αὐτῶν καὶ τὰ ἄρρητα ἐξειπεῖν. οὐ σησαμαῖ ταῦτα καὶ πυραμίδες καὶ τολύπαι καὶ πόπανα πολυόμφαλα χόνδροι τε ἁλῶν καὶ δράκων, ὄργιον Διονύσου Βασσάρου; οὐχὶ δὲ ῥοιαὶ πρὸς τοῖσδε καὶ κράδαι νάρθηκές τε καὶ κιττοί, πρὸς δὲ καὶ φθοῖς καὶ μήκωνες; ταῦτ' ἔστιν αὐτῶν τὰ ἅγια. ... [sequitur fr. 532 II] πάλαι μὲν ἀνθρώποις σωφρονοῦσιν ἐπικάλυμμα ἡδονῆς νὺξ ἦν σιωπωμένη· νυνὶ δὲ τοῖς μυουμένοις ‹δ›ὴ ἱέρ‹ει›α

Meursius || **61** responsa] *cf. P. Gurob (fr. 578) col. I 26* σύνθεμα *et adn. ad loc.* || **63** moriturus] oraturus *Lob.* : introiturus *Bursian, Halm* : *at 'allusion à la mort fictive "rituelle" de l'initiand?' recte Turcan 288 (monente Nilsson, l. laud. 649)* : *aliter interpretatus est Clemens, Rh. Mus. 73, 1920, 356ss, de pagano ad mortem spiritualem condemnato dici credens, cf. Loisy, l. laud. 111* : *moriturum idem atque mortalem esse putavit Rose, Journ. Hell. Stud. 72, 1952, 744* || **64** secreta perdidici] *'élucide, en fait, le sens que F. M. donne à* μύστης*' recte Turcan 289 cum bibl.*

590 2 κενὴ corr. ex καινὴ Clem. **P**[1] | τὰ μυστήρια καὶ τοῦ δράκοντος Mayor, prob. Marc. | τὰ μυστήρια del Schwartz || **3** θρησκευομένη] cf. fr. 556 | θρησκευομένη ‹ὑπὸ τῶν› Marc. || **3** ἀμυήτους – **4** νόθωι] cf. Philon. Cherub. 94 ἀμυήτους μυήσεις, ἀνοργιάστους τελετάς, νόθον εὐσέβειαν || **4** προτρεπομένων Euseb. prob. Mras | κίσται μυστικαὶ Clem. **P**[1] | de re cf. Demosth. 18, 260 (fr. 577 I) κιστοφόρος et comm. ad loc. || **6** πόπανα πολυόμφαλα] cf. P. Derveni col. VI 7 (fr. 471) πολυόμφαλα τὰ πόπανα θύουσιν et adn. ad loc. || **7** Βασάρου Euseb. **BONV** || **7-8** κράδαι Morel : καρδίαι Clem. Euseb. **BOVNP** : καρδία Euseb. **H** || **8** νάρθηκες] cf. frr. 307 et 576 et adn. ad locc. | φθοῖς (ο corr. ex ε) Clem. **P**[1] et Euseb. **H** : φθόεις Euseb. **ONDV** || **10** ‹δ›ὴ ἱέρ‹ει›α Marc. : ἡ ἱερὰ Clem. **P**[1] et Euseb. : πεῖρα Wil. : ἡμέρα Jackson ||

τῆς ἀκρασίας νύξ ἐστι λαλουμένη, καὶ τὸ πῦρ ἐλέγχει τὰ πάθη δαιδουχούμενον. ἀπόσβεσον, ὦ ἱεροφάντα, τὸ πῦρ· αἰδέσθητι, δαιδοῦχε, τὰς λαμπάδας· ἐλέγχει σου τὸν Ἴακχον τὸ φῶς· ἐπίτρεψον ἀποκρύψαι τῆι νυκτὶ τὰ μυστήρια· σκότει τετιμήσθω τὰ ὄργια· τὸ πῦρ οὐχ ὑποκρίνεται, ἐλέγχειν καὶ κολάζειν κελεύεται. ταῦτα τῶν ἀθέων τὰ μυστήρια· ἀθέους δὲ εἰκότως ἀποκαλῶ τούτους, οἳ τὸν μὲν ὄντως ὄντα θεὸν ἠγνοήκασιν, παιδίον δὲ ὑπὸ Τιτάνων διασπώμενον καὶ γύναιον πενθοῦν καὶ μόρια ἄρρητα ὡς ἀληθῶς ὑπ' αἰσχύνης ἀναισχύντως σέβουσιν.

591 T

Plut. Quaest. Conv. 4, 6, 2 p. 671d πρῶτον μὲν ... τῆς μεγίστης καὶ τελειοτάτης ἑορτῆς παρ' αὐτοῖς (sc. **Iudaeis**) ὁ καιρός ἐστιν καὶ ὁ τρόπος Διονύσωι προσήκων. ‹μετὰ› γὰρ τὴν λεγομένην νηστείαν ἀκμάζοντι τρυγητῶι τραπέζας τε προτίθενται παντοδαπῆς ὀπώρας ὑπὸ σκηναῖς καὶ καλιάσιν ἐκ κλημάτων μάλιστα καὶ κιττοῦ διαπεπλεγμέναις· καὶ τὴν προτέραν τῆς ἑορτῆς σκηνῶν ὀνομάζουσιν. ὀλίγαις δ' ὕστερον ἡμέραις ἄλλην ἑορτήν, οὐκέτι δι' αἰνιγμάτων ἀλλ' ἄντικρυς Βάκχου καλουμένην, τελοῦσιν. ἔστι δὲ {καὶ} κραδηφορία τις αὕτη καὶ θυρσοφορία παρ' αὐτοῖς, ἐν ἧι θύρσους ἔχοντες εἰς τὸ ἱερὸν εἰσίασιν· εἰσελθόντες δ' ὅ τι δρῶσιν, οὐκ ἴσμεν, εἰκὸς δὲ βακχείαν εἶναι τὰ ποιούμενα· καὶ γὰρ σάλπιγξι μικραῖς, ὥσπερ Ἀργεῖοι τοῖς Διονυσίοις, ἀνακαλούμενοι τὸν θεὸν χρῶνται, καὶ κιθαρίζοντες ἕτεροι προΐασιν, οὓς αὐτοὶ Λευίτας προσονομάζουσιν, εἴτε παρὰ τὸν Λύσιον εἴτε μᾶλλον παρὰ τὸν Εὔιον τῆς ἐπικλήσεως γεγενημένης. οἶμαι δὲ καὶ τὴν τῶν σαββάτων ἑορτὴν μὴ παντάπασιν ἀπροσδιόνυσον εἶναι· Σάβους γὰρ καὶ νῦν

11ss cf. Riedweg, Ill. Class. Stud. 13, 1998, 127ss || **11-12** δαιδουχούμενα Euseb. **BONV** || **16-17** Τιτάνων ὕπο Clem. **P**[3] in mg. et Euseb. **H**; de re cf. fr. 304

591 3 μετὰ add. Del Re, qui et. γὰρ ante τὴν transp. : τὴν γὰρ cod. | νηστείαν] cf. Teodorsson ad loc. 123 | post νηστείαν add. ἀγαγόντες Lewy : ἄγοντες Madvig || **4-5** καλιάσιν Scaliger : καθιᾶσιν cod. || **5** κλημμάτων **T** || **6** σκηνῶν Fuhrmann : σκηνὴν cod. | de re cf. Fuhrmann ad loc. p. 154 adn.1; Teodorsson ad loc. 123s || **7** οὐκέτι Bollaan : οὐκ ἂν **T** : οὐκ αὖ Reiske : οὐ μὴν Del Re | καλουμένην Reiske : -μένου cod., cf. 2 Macc. 6, 7; Abel, Hist. de la Palestine, Paris 1952, I, 124; Fuhrmann ad loc. 154s adn. 2; Teodorsson ad loc. 124s || **8** καὶ del. Fuhrmann | κραδηφορία ed. Basiliensis, Turnebus : κρατεροφορία cod. | αὕτη Fuhrmann : ἑορτὴ cod. || **10** ὥσπερ – **11** Διονυσίοις] cf. Plut. De Iside 35 p. 364f, Paus. 2, 36, 6ss, vid. et. Casadio, Storia del culto di Dioniso in Argolide, Roma 1994, 231s; Teodorsson ad loc. 126s || **12** προΐασιν Reiske: προιᾶσιν cod. | Λευίτας — Λύσιον] de ficta etymologia cf. Fuhrmann ad loc. 155 adn. 5 || **13** εὔειον **T** || **14** σαμβάτων **T** | Σάβους] vid. fr. 577

ἔτι πολλοὶ τοὺς Βάκχους καλοῦσιν καὶ ταύτην ἀφιᾶσι τὴν φωνὴν ὅταν ὀργιάζωσι τῶι θεῶι, ‹οὗ πίστω›σιν ἔστι δήπου καὶ παρὰ Δημοσθένους (18, 260) λαβεῖν καὶ παρὰ Μενάνδρου (fr. 610 K.-A.), καὶ οὐκ ἀπὸ ‹τρό›που τις ἂν φαίη τοὔνομα πεποιῆσθαι πρός τινα σόβησιν, ἣ κατέχει τοὺς βακχεύοντας· αὐτοὶ δὲ τῶι λόγωι μαρτυροῦσιν, ὅταν σάββατα τελῶσι, μάλιστα μὲν πίνειν καὶ οἰνοῦσθαι παρακαλοῦντες ἀλλήλους, ὅταν δὲ κωλύηι τι μεῖζον, ἀπογεύεσθαί γε πάντως ἀκράτου νομίζοντες. καὶ ταῦτα μὲν εἰκότα φαίη τις ἂν εἶναι· κατὰ κράτος ‹δὲ τοὺς› ἐναντίους πρῶτον μὲν ὁ ἀρχιερεὺς ἐλέγχει, μιτρηφόρος τε προϊὼν ἐν ταῖς ἑορταῖς καὶ νεβρίδα χρυσόπαστον ἐνημμένος, χιτῶνα δὲ ποδήρη φορῶν καὶ κοθόρνους, κώδωνες δὲ πολλοὶ κατακρέμανται τῆς ἐσθῆτος, ὑποκομποῦντες ἐν τῶι βαδίζειν, ὡς καὶ παρ' ἡμῖν· ψόφοις {δὲ} χρῶνται περὶ τὰ νυκτέλια, καὶ χαλκοκρότους τὰς τοῦ θεοῦ τιθήνας προσαγορεύουσιν· καὶ ὁ δεικνύμενος ἐν τοῖς ἀετοῖς τοῦ νεὼ θύρσος ἐντετυπωμένος καὶ τύμπανα· ταῦτα γὰρ οὐδενὶ δήπουθεν ἄλλωι θεῶν ἢ Διονύσωι προσῆκεν.

592 T (34 K.)

Epiph. Const. Expos. fidei 10 (510, 10 Holl-Dummer) παρ' Ἕλλησι δὲ πόσα μυστήρια καὶ τελεταί; ὡς αἱ μεγαρίζουσαι γυναῖκες καὶ θεσμοφορι‹ά›ζουσαι ἀλλῆλαι πρὸς ἀλλήλας διαφέρονται, ὅσα τε ἄλλα, τά τε ἐν Ἐλευσῖνι μυστήρια Δηοῦς καὶ Φερεφάττης καὶ τῶν ἐκεῖσε ἀδύτων τὰ αἰσχρουργήματα, γυναικῶν ἀπογυμνώσεις, ἵνα σεμνότερον εἴπω, τύμπανά τε καὶ πόπανα, ῥόμβος τε καὶ κάλαθος, ἐρέα ἐξειργασμένη καὶ κύμβαλον καὶ κυκεὼν ἐκπώματι κατεσκευασμένος κτλ.

et Fuhrmann ad loc. 155 adn. 7; Teodorsson ad loc. 128s || **15** ἔτι Stephanus : ὅτι cod. || **16** ‹οὗ πίστω›σιν suppl. Hubert : lac. 8-10 litt. cod. || **17** ‹τρό›που suppl. Turnebus : lac. 4-5 litt. cod. || **18** τοὔνομα Turnebus : τοῦ ἅμα cod. | τινα (iam Steph.) σόβησιν (τὴν σόβ. Reiske) Hutten : τὴν ἀσέβησιν **T** : τίνα σέβησιν Turnebus || **19** σάββατα **yg** : σάμβα **T** : σάββατον **E** | τελῶσι Hubert : τιμῶσι cod. || **19** πίνειν – **20** ἀλλήλους] cf. Fuhrmann ad loc. 156 adn. 2 || **22** δὲ τοὺς add. dub. Wyttenbach | ἐναντίους Madvig : ἐν αὐτοῖς **T** : ἐναντιουμένους Wyttenbach | de re cf. Tacit. Hist. 5, 5 *Liberum patrem coli ... quidam arbitrati sunt, nequaquam congruentibus institutis: quippe Liber festos laetosque ritus posuit, Iudaeorum mos absurdus sordidusque* || **25** δὲ del. Turnebus || **26** νυκτέλια Turnebus : νῦν τέλεια cod.; cf. fr. 613 | χαλκοκρότους τὰς Coraes ap. Hubert : χαλκοκροδυστας **T** : χαλκοδρύστας **E** || **27** ἀετοῖς coni. Doehner : ἐναντίοις cod. | θύρσους **T** || **28** θεῶν Bernardakis : θεῶι cod.

592 2-3 θεσμοφορι‹ά›ζουσαι Holl : θεσμοφορίζουσαι cod. || **3** ὅσα τε Petavius : ὅσα τὰ **J** || **5** τύμπανά] cf. adnot. ad fr. 212 | πόπανα cf. P. Derveni col. VI 7 (fr. 471) et adn. ad loc.

593 T

P. Argent. 1313 saec. III p. C. n., cf. et. Snell, Hermes-Einzelschr. 5, 1937, 106ss; Kern, Religion der Griech. III, 1938, 197; Körte, Archiv f. Papyrusf. 13, 1939, 96; Keydell, Bursians Jahresb. 272, 1941, 60; Heitsch, GDRK LVII p. 175

col. I

(vestigia 5 versuum)

].[ ]. . ν
]χει δ̣[. . . .]ς μ̣ελωιδ̣ὸ̣ν
θυ]μοῦ ζέ[ον]τ̣ο̣ς
]ασεις̣, σ̣ο̣ὶ δ̣’ [οἷ]α̣ κοῦρος̣
]ας λιπεῖν οὐκ ἠθέ[λ]η̣[σ]ε̣ν
]α̣σιν διηπάτων̣ ν̣ι̣ν
]ν̣αν̣θεων ποικίλτ’ ἀθύρματα
] . . . ν ἄγραν ἐπ‹ε›ισφέροντ̣ες
]. . θ . λ̣η̣ καὶ τεῦξαν ἀντίον
]. μασ̣ο̣ν χορὸν τιθέντές ε̣ἰ̣σ̣ι̣
]η̣σταν . εβα̣ . [ἀ]ν̣η̣σ̣τ̣άλ̣υ̣ζο̣ν̣

col. II

(vestigia 4 versuum)

. . . . . αιχ[
. . . . . ν̣κα[
. . . . . ρδι[
. . . . . . ομ[
. .] ε̣ι̣ . . ρμισ[
. . . .]. . . [ ] . . . υ .

593 e miserrimis fragmentis huius carminis arduum est cognoscere utrum ea ad religionem Orphicam studendam valeant necne ‖ **8** suppl. Snell ‖ **9** suppl. Maas ap. Snell ‖ **10** suppl. Snell ‖ **11s** cf. Clem. Alex. Protr. 2, 17, 2 (fr. 306 I) τὰ δὲ Διονύσου μυστήρια τέλεον ἀπάνθρωπα (cf. fr. 588 I): ὃν εἰσέτι παῖδα ὄντα ἐνόπλωι κινήσει περιχορευόντων Κουρήτων (cf. fr. 297), δόλωι δὲ ὑποδύντων Τιτάνων, ἀπατήσαντες παιδαριώδεσιν ἀθύρμασιν οὗτοι δὴ οἱ Τιτᾶνες διέσπασαν (cf. fr. 311), ἔτι νηπίαχον ὄντα ‖ **12** incertum utrum]ν̣ αν̣θεων an]ν̣αν̣ θεων legendum sit ‖ **13** ἐπ‹ε›ισφέροντ̣ες edd. : ἐπισφέροντ̣ες **Π** ‖ **14** κἄτευξαν Maas ‖ **15** τιθέντές ε̣ἰ̣σ̣ι̣ Snell : τιθέντες εὐ̣ο̣ῖ̣ Maas : τιθέντές ε[.]σ̣ι̣ vel ε[.]σ̣η̣ Schubart ‖ **16** leg.

. . . .]παρθένωι τεχνῶιτο . . [
εὐα]στὴν θεὸν θᾶκος μελωιδὸν
. . . .]αρες μάκαρ χρυσανθὲς ἔρνος
καὶ] μύσταις ὁμοῦ καὶ μύστισι‹ν› μόλοις.

594 T

Plut. fr. 178 Sandbach οὕτω κατὰ τὴν εἰς τὸ ὅλον μεταβολὴν καὶ μετακόσμησιν ὀλωλέναι τὴν ψυχὴν λέγομεν ἐκεῖ γενομένην· ἐνταῦθα δ' ἀγνοεῖ, πλὴν ὅταν ἐν τῶι τελευτᾶν ἤδη γένηται· τό‹τε› δὲ πάσχει πάθος οἷον οἱ τελεταῖς μεγάλαις κατοργιαζόμενοι. διὸ καὶ τὸ ῥῆμα τῶι ῥήματι καὶ τὸ ἔργον τῶι ἔργωι τοῦ τελευτᾶν καὶ τελεῖσθαι προσέοικε. πλάναι τὰ πρῶτα καὶ περιδρομαὶ κοπώδεις καὶ διὰ σκότους τινὲς ὕποπτοι πορεῖαι καὶ ἀτέλεστοι, εἶτα πρὸ τοῦ τέλους αὐτοῦ τὰ δεινὰ πάντα, φρίκη καὶ τρόμος καὶ ἱδρὼς καὶ θάμβος· ἐκ δὲ τούτου φῶς τι θαυμάσιον ἀπήντησεν καὶ τόποι καθαροὶ καὶ λειμῶνες ἐδέξαντο, φωνὰς καὶ χορείας καὶ σεμνότητας ἀκουσμάτων ἱερῶν καὶ φασμάτων ἁγίων ἔχοντες· ἐν αἷς ὁ παντελὴς ἤδη καὶ μεμυημένος

(δεβασα ?) Snell |]ησται[ν]εβρον Roberts : εβρ. . νησγαμιζον Schubart || **27** τεχνοῖτο **Π** || **28** εὐα]στὴν vel κωμα]στὴν coni. Kern || **29** ἀλκμ]αρὲς vel εὐμ]αρὲς Heitsch || **30** suppl. Heitsch | μόλοις Snell, coll. Orph. Hymn. 27, 2; 50, 10; 52, 13 : μολουσ[leg. Schubart

594 cf. Foucart, Les mystères d'Eleusis, Paris 1914, 393ss, qui de Eleusiniis mysteriis agi credidit : contradixit Mylonas, Eleusis and the Eleusinian mysteries, Princeton 1961, 265 quae de βορβόρωι (**13**) dicuntur Orphica redolere putans; Dunand, Le culte d'Isis dans le bassin oriental de la Méditerranée, Leiden 1973, III, 248, 2; 250s Isidis mysteriis attribuit : at cf. Graf, Eleusis 132ss : generaliter de mysteriis vid. Sorel, Orphée et l'orphisme, Paris 1995, 107s; cf. et. Burkert in: Orfismo in Magna Grecia, 1975, 96; eund., Ancient Mystery Cults 91s; Brillante, Quad. Urb. 25, 1987, 39; Díez de Velasco in: Plácido–Alvar–Casillas– Fornis (edds.), Imágenes de la Polis, Madrid 1997, 413ss; Riedweg in: Graf (ed.), Ansichten griechischer Rituale, Stuttgart - Leipzig 1998, 367 adn. 33; Lada-Richards, Initiating Dionysus, Oxford 1999, 90; 98s; 103; Bernabé in: Pérez Jiménez – Casadesús (edd.), Misticismo y religiones mistéricas en la obra de Plutarco, Madrid-Málaga 2001, 10ss; eund. in: Díez de Velasco (ed.), Miedo y Religión, Madrid 2002, 326 || **1** οὕτως **A** || **1-2** μετακόσμησιν Wyttenbach : κατακόσμησιν (κατασκομ- **A**) cod. || **2** γενομένην] γεγονέναι **A** : γεγονυῖαν Cobet | ἀγνοεῖ Gesner : ἀγνοεῖν cod. || **3** τό‹τε› Wyttenbach : τὸ cod. || **6** τινὲς Wyttenbach : τινὸς cod. || **8** καὶ[2] Duebner : ἢ cod. || **9** λειμῶνες] cf. fr. 61 et comm. ad loc. | de ritu cf. Turcan, Les cultes orientaux dans le monde romain, Paris 1989, 305ss || **9ss** haec mutuatur Clem. Alex. Ecl. Proph. 34 || **9-10** φωνὰς καί

ἐλεύθερος γεγονὼς καὶ ἄφετος περιιὼν ἐστεφανωμένος ὀργιάζει καὶ σύνεστιν ὁσίοις καὶ καθαροῖς ἀνδράσι, τὸν ἀμύητον ἐνταῦθα τῶν ζώντων ‹καὶ› ἀκάθαρτον ἐφορῶν ὄχλον ἐν βορβόρωι πολλῶι καὶ ὁμίχληι πατούμενον ὑφ' ἑαυτοῦ καὶ συνελαυνόμενον, φόβωι δὲ θανάτου τοῖς κακοῖς ἀπιστίαι τῶν ἐκεῖ ἀγαθῶν ἐμμένοντα. ἐπεὶ τό γε παρὰ φύσιν τὴν πρὸς τὸ σῶμα τῆι ψυχῆι συμπλοκὴν εἶναι καὶ σύνερξιν ἐκεῖθεν ἂν συνίδοις.

595 T

(I) PLUT. Cons. ad uxor. 10 p. 611d καὶ μὴν ἃ τῶν ἄλλων ἀκούεις, οἳ πείθουσι πολλοὺς λέγοντες ὡς οὐδὲν οὐδαμῆι τῶι διαλυθέντι κακὸν οὐδὲ λυπηρόν ἐστιν, οἶδ' ὅτι κωλύει σε πιστεύειν ὁ πάτριος λόγος καὶ τὰ μυστικὰ σύμβολα τῶν περὶ τὸν Διόνυσον ὀργιασμῶν, ἃ σύνισμεν ἀλλήλοις οἱ κοινωνοῦντες. ὡς οὖν ἄφθαρτον οὖσαν τὴν ψυχὴν διανοοῦ ταὐτὸ ταῖς ἁλισκομέναις ὄρνισι πάσχειν· ἂν μὲν γὰρ πολὺν ἐντραφῆι τῶι σώματι χρόνον καὶ γένηται τῶι βίωι τούτωι τιθασὸς ὑπὸ πραγμάτων πολλῶν καὶ μακρᾶς συνηθείας, αὖθις καταίρουσα πάλιν ἐνδύεται καὶ οὐκ ἀνίησιν οὐδὲ λήγει τοῖς ἐνταῦθα συμπλεκομένη πάθεσι καὶ τύχαις διὰ τῶν γενέσεων ... ἡ δὲ ληφθεῖσα μὲν *** ὑπὸ κρειττόνων ἔρχεται, καθάπερ ἐκ καμπῆς ὑγρᾶς καὶ μαλθακῆς ἀναχαι-

τινας ὄψεις ἁγίων φασμάτων ‹ἔχοντες› Clem. || **11** ἐστεφανωμένος] cf. adn. ad Lam. Thur. (fr. 488) 6 et ad fr. 431 || **12** καὶ add. Sandbach || **13** ἀκάθαρτον del. Hartman | ἐν βορβόρωι πολλῶι καὶ ὁμίχληι] vid. adn. ad fr. 434 | πολλῶι ed. Trinc. : πολλὰ cod.

595 cf. Nilsson, The Dionysiac mysteries, Lund 1957, 123; Turcan, Rev. Hist. Rel. 155, 1959, 33ss; Cole, Epigraph. Anat. 4, 1984, 44; Freyburger-Galland – Freyburger – Tautil, Sectes religieuses en Grèce et à Rome, Paris 1986, 71; Casadio in: Borgeaud (ed.), Orphisme et Orphée, Genève 1991, 134s: Bernabé in: Gallo (ed.), Plutarco e la religione 76 (et adnn. 59-62); 81; 89; Suárez de la Torre, in: Montes Cala - Ortiz de Landaluce - Gallé Cejudo (edd.), Plutarco, Dioniso y el Vino, Madrid 1999, 52 || **1** τῶν ἄλλων] i. e. Epicureorum, cf. e. g. Epicur. Ep. 3, 124, Sent. 2 || **3-4** τὰ μυστικὰ σύμβολα] cf. Lam. Pher. (fr. 493) et comm. ad loc. || **5-6** ὄρνισι πάσχειν] cum Lam. Thur. (fr. 488), 5 ἐξέπταν comparavit Casadio 135s, cf. et. P. Derveni col. VI (fr. 471) ὀ[ρ]νί̣θ[ε]ιον et comm. ad loc.; Plut. Non posse suav viv. sec. Epic. 28 p. 1105d ἀλλ' ὄρνιθος δίκην ἄνω βλέποντες, ὡς ἐκπτησόμενοι τοῦ σώματος, et alios locos a Turcan collectos || **9** πάθεσι καὶ τύχαις διὰ τῶν γενέσεων] de migratione animarum plane loquitur | post ληφθεῖσα μὲν lac. fere 80 litt. **O** : deficit 3 paginis vacuis relictis **B** : reliqua pagina vacua relicta **π** : μένουσα δὲ βραχὺν ἐν τῶι σώματι χρόνον ἐλευθερωθεῖσα suppl. Wyttenbach || **10** ἔρχεται Wytten-

τίσασα πρὸς ὃ πέφυκεν. ὥσπερ γὰρ τὸ πῦρ, ἄν τις ἀποσβέσας εὐθὺς ἐξάπτηι, πάλιν ἀναρριπίζεται καὶ ἀναλαμβάνει ταχέως ....'ὅπως ὤκιστα πύλας 'Αίδαο περῆσαι' (Theogn. 427) ‖ (II) Plut. fr. 177 Sandbach 'ἀλλ' οὕτω μέν' ἔφη ὁ Τίμων 'λογιζόμενοι καὶ τὰ ἄφθαρτα δοξάζουσι συνδιαλύεσθαι ‹τοῖς› φθειρομένοις. ὅτι μὲν οὖν τὸ μετηλλαχέναι καὶ μεθίστασθαι καὶ οἴχεσθαι τὸν τεθνηκότα δυσχεροῦς οὐδενὸς ἁπλῶς, ἀμείψεως δέ τινος ἢ μεταβολῆς ὑπόνοιαν δίδωσιν, οὐκ ἄδηλόν ἐστι· ὅποι δ' αὕτη γίγνεται τοῖς μεταλλάττουσιν ἡ μεταβολή, καὶ πότερον εἰς χεῖρον ἢ βέλτιον, ἐκ τῶν ἄλλων ὀνομάτων σκοπῶμεν. αὐτὸ τοίνυν τὸ τοῦ θανάτου πρῶτον οὐχ ὑπὸ γῆν ἔοικεν οὐδὲ κάτω δεικνύναι χωροῦν τὸ μετηλλαχὸς ἀλλ' ἄνω φερόμενον καὶ θέον· ‹δι›ὸ δὴ καὶ λόγον ἔχει καθάπερ ἐκ καμπῆς τινος ἀνείσης οἷον ἐξάιττειν καὶ ἀναθεῖν τὴν ψυχὴν ἀποπνέοντος τοῦ σώματος ἀναπνέουσαν αὐτὴν καὶ ἀναψύχουσαν. ὅρα δὲ τὸ ἀντικείμενον θανάτωι, τὴν γένεσιν, ὡς τοὐναντίον δηλοῖ ῥοπήν τινα κάτω καὶ νεῦσιν ἐπὶ γῆν ἐκείνου τοῦ περὶ τὴν τελευτὴν πάλιν ἀναθέοντος· ἧι καὶ γενέθλιον τὴν ‹πρώτην› ἡμέραν καλοῦσιν, ὡς ἄθλων καὶ πόνων μεγάλων ἀρχὴν γενομένην. μᾶλλον δ' ἴσως ἀφ' ἑτέρας ταὐτὸ συζυγίας κατοψόμεθα καὶ σαφέστερον. ἀπολύεσθαι γὰρ τὸν ἀποθνήισκοντα καὶ τὴν τελευτὴν ἀπόλυσιν καλοῦσιν, ἂν δὲ ἔρημαι ** σώματος· τοῦτο γὰρ 'δέμας' ὀνομάζουσιν, ὡς 'δεδεμένης' ὑπ' αὐτοῦ τῆς ψυχῆς ἐνταῦθα παρὰ φύσιν· οὐδὲν γὰρ ἐν ὧι πέφυκεν εἶναι κατέχεται βίαι, καὶ τὸ δεδέσθαι τήν τε 'βίαν' ταύτην παραγαγόντες ὠνόμασαν 'βίον', ὥσπερ οἶμαι τὴν 'ἑσπέραν' Ὅμηρος 'ἕσπερον'. ὅθεν ἀντίφωνον τοῦ βίου ὄνομα γέγονε τὸ ἀναπαύεσθαι τὸν θνήισκοντα, μεγάλης καὶ παρὰ φύσιν ἀνάγκης ἀπαλλαττόμενον.

bach : ἔχεται **Ω** ‖ **13ss** etymologiae doctrinam Orphicam redolent: fortasse in initiatione explicabantur ‖ **14** λογιζόμενοι ed. Trinc. : λογιζομένοις cod. | δόξουσι **S** (Wyttenbach) | συνδιαλύεσθαι Bernardakis : διανοεῖσθαι **SA** : ‹ἴσα› διανοεῖσθαι Duebner : ‹τὰ αὐτὰ› διανοεῖσθαι Wyttenbach | τοῖς add. Wyttenbach ‖ **17** ὅποι Meineke : ὅπου **A** : ποῦ **S** ‖ **20** δεικνύναι Valckenaer : μιγνύναι **SA** : μηνῦσαι Jacobs ‖ **21** ‹δι›ὸ Bernardakis : ὃ cod. | ἐκ καμπῆς Wyttenbach : εἰ κάμπης cod. | ἐξάιττειν Koenius : ἐξάπτειν cod. ‖ **22** ἀναθεῖν Valckenaer : ἀναθεῖναι cod. ‖ **23** ὅρα δὲ usque ad finem om. **A** ‖ **25** ἧι Wyttenbach : ἡ cod. | πρώτην add. Sandbach ‖ **28** lac. ita exhibet **S** : post σώματος ed. Trinc. : καλοῦσιν ἅτε δεσμοῦ τοῦ σώματος Duebner : καλοῦσιν ὡς ἂν δεσμοῦ τοῦ σώματος ‹ὄντος› Bernardakis : καλοῦσιν, ἂν δὲ ἔρηι, καὶ σώματος Prickard, Plutarch. Select Essays, 2, 215 ‖ **30** τὸ Gesner : τῶ cod.

596 T

(I) ORIGEN. c. Cels. 4, 10 διόπερ ἐξομοιοῖ (sc. Celsus) ἡμᾶς τοῖς ἐν ταῖς Βακχικαῖς τελεταῖς τὰ φάσματα καὶ τὰ δείματα προσεισάγουσι || (II) ORIGEN. c. Cels. 8, 48 ἐξισῶν (sc. Celsus) τὰ ἡμέτερα τοῖς ὑπὸ τῶν τελεστῶν καὶ μυσταγωγῶν λεγομένοις (de punitionibus apud inferos) || (III) PROCL. in Plat. Remp. II 108, 17 Kroll ὅτι δὲ καὶ εἰς τοὺς πολλοὺς δρῶσιν οἱ μῦθοι, δηλοῦσιν αἱ τελεταί. καὶ γὰρ αὗται χρώμεναι τοῖς μύθοις, ἵνα τὴν περὶ θεῶν ἀλήθειαν ἄρρητον κατακλείωσιν, συμπαθείας εἰσὶν αἴτιαι ταῖς ψυχαῖς περὶ τὰ δρώμενα τρόπον ἄγνωστον ἡμῖν καὶ θεῖον· ὡς τοὺς μὲν τῶν τελουμένων καταπλήττεσθαι δειμάτων θείων πλήρεις γιγνομένους, τοὺς δὲ συνδιατίθεσθαι τοῖς ἱεροῖς συμβόλοις καὶ ἑαυτῶν ἐκστάντας ὅλους ἐνιδρῦσθαι τοῖς θεοῖς καὶ ἐνθεάζειν· πάντως που καὶ τῶν ἑπομένων αὐτοῖς κρειττόνων ἡμῶν γενῶν διὰ τὴν πρὸς τὰ τοιαῦτα συνθήματα φιλίαν ἀνεγειρόντων ἡμᾶς εἰς τὴν πρὸς τοὺς θεοὺς δι' αὐτῶν συμπάθειαν. ἢ πῶς μετ' ἐκείνων μὲν πᾶς ὁ περὶ γῆν τόπος μεστὸς ἦν παντοίων ἀγαθῶν, ὧν θεοὶ προξενοῦσιν ἀνθρώποις, ἄνευ δὲ ἐκείνων ἄπνοα πάντα καὶ ἄμοιρα τῆς τῶν θεῶν ἐστιν ἐπιλάμψεως;

597 T (T 122 K.)

PS.-PLUT. De fluv. 3, 4 (288, 3 Bernardakis), plura invenies in fr. 1063 γεννᾶται δὲ καὶ ἐν τῶι Παγγαίωι ὄρει βοτάνη κιθάρα καλουμένη ... τῶν δὲ Διονυσίων τελουμένων αὕτη κιθάρας ἀναδίδωσιν ἦχον· οἱ δ' ἐγχώριοι νεβρίδας περιβεβλημένοι καὶ θύρσους κρατοῦντες ὕμνον ἄιδουσιν· 'μὴ τότε φρονήσηις, ὅταν ἔσηι μάτην φρονῶν'· καθὼς ἱστορεῖ Κλειτώνυμος ἐν τῶι γ' τῶν Τραγικῶν (FGrHist 292 F 3).

596 cf. Nilsson, The Dionysiac mysteries, Lund 1957, 122; Bernabé in: Díez de Velasco (ed.), Miedo y Religión, Madrid 2002, 323s || **3** τὰ om. Spencer, Delarue

597 cf. Linforth 228s; Jac. ad loc.; Molina, Orfeo y la mitología de la música, Diss. Madrid 1998, 489 || **4** θύρσους — ἄιδουσιν· Salmasius : θύρσους ὕμ. ἄιδουσιν. κρατοῦντες **P** || **4-5** μὴ τότε φρονήσηις Haupt : καὶ τότε φρονήσεις Salmasius : καὶ τότε φρονήσει **P** || **5** ἔσηι μάτην Salmasius : εσηματην **P** || **6** Θραικικῶν Reinesius : dub. Jac. ad loc.

598 T

PROCL. in Plat. Tim. III 297, 3 Diehl τὴν οὖν πρώτην ἕξιν κατὰ τὴν σχέσιν ἀφεῖσα τὴν πρὸς πᾶσαν τὴν γένεσιν καὶ τὸ ἄλογον τὸ ποιοῦν αὐτὴν γενεσιουργόν, λόγωι μὲν κρατοῦσα τὸ ἄλογον, νοῦν δὲ χορηγοῦσα τῆι δόξηι, πᾶσαν δὲ τὴν ψυχὴν εἰς τὴν εὐδαίμονα περιάγουσα ζωὴν ἀπὸ τῆς περὶ τὴν γένεσιν πλάνης, ἧς καὶ οἱ παρ' Ὀρφεῖ τῶι Διονύσωι καὶ τῆι Κόρηι τελούμενοι τυχεῖν εὔχονται [laud. fr. 348].

599 T

(I) LUCIAN. de salt. 15 ἐῶ λέγειν, ὅτι τελετὴν οὐδεμίαν ἀρχαίαν ἔστιν εὑρεῖν ἄνευ ὀρχήσεως, Ὀρφέως δηλαδὴ καὶ Μουσαίου (fr. 36) καὶ τῶν τότε ἀρίστων ὀρχηστῶν καταστησαμένων αὐτάς, ὥς τι κάλλιστον καὶ τοῦτο νομοθετησάντων, σὺν ῥυθμῶι καὶ ὀρχήσει μυεῖσθαι. ὅτι δ' οὕτως ἔχει, τὰ μὲν ὄργια σιωπᾶν ἄξιον τῶν ἀμυήτων ἕνεκα, ἐκεῖνο δὲ πάντες ἀκούουσιν, ὅτι τοὺς ἐξαγορεύοντας τὰ μυστήρια ἐξορχεῖσθαι λέγουσιν οἱ πολλοί || (II) LUCIAN. de salt. 7 ἀλλ' οἵ γε τἀληθέστατα ὀρχήσεως πέρι γενεαλογοῦντες ἅμα τῆι πρώτηι γενέσει τῶν ὅλων φαῖεν ἄν σοι καὶ ὄρχησιν ἀναφῦναι, τῶι ἀρχαίωι ἐκείνωι Ἔρωτι συναναφανεῖσαν. ἡ γοῦν χορεία τῶν ἀστέρων καὶ ἡ πρὸς τοὺς ἀπλανεῖς τῶν πλανήτων συμπλοκὴ καὶ εὔρυθμος αὐτῶν κοινωνία καὶ εὔτακτος ἁρμονία τῆς πρωτογόνου ὀρχήσεως δείγματά ἐστιν.

600 T (T 209 K.)

(I) LUCIAN. de salt. 79 ἡ μέν γε Βακχικὴ ὄρχησις ἐν Ἰωνίαι μάλιστα καὶ ἐν Πόντωι σπουδαζομένη, καίτοι σατυρικὴ οὖσα, οὕτω κεχείρωται τοὺς ἀνθρώπους τοὺς ἐκεῖ ὥστε κατὰ τὸν τεταγμένον ἕκαστοι καιρόν, ἁπάντων ἐπιλαθόμενοι τῶν ἄλλων, κάθηνται δι' ἡμέρας τιτᾶνας καὶ κορύβαντας καὶ σατύρους καὶ βουκόλους ὁρῶντες. καὶ ὀρχοῦνταί γε ταῦτα οἱ εὐγενέστατοι καὶ πρωτεύοντες ἐν ἑκάστηι τῶν πόλεων, οὐχ ὅπως αἰδούμενοι ἀλλὰ καὶ μέγα φρονοῦντες ἐπὶ τῶι πράγματι μᾶλλον ἤπερ ἐπ' εὐγενείαις καὶ λειτουργίαις καὶ ἀξιώμασι προγονικοῖς || (II) ARISTID. QUINT. De mus. 3, 25 (p. 129, 11 Winnington-Ingram) διὸ καὶ τὰς βακχικὰς τελετὰς καὶ ὅσαι ταύταις

599 1-6 cf. Lada-Richards, Initiating Dionysus, Oxford 1999, 99s || **2** καὶ^2 del. Wieland || **5** ὄργια **ΓΕΦ** | σιωπᾶν cf. fr. 1 || **7-11** cf. Merkelbach, Die Hirten des Dionysos, Stuttgart 1988, 28, qui cft. Orph. Hymn. 6 (= fr. 143) 1 αἰθερόπλαγκτον ('was an die πλάνητες erinnert'), 5 ῥοιζήτορα, 7 πάντη δινηθεὶς πτερύγων ῥιπαῖς κατὰ κόσμον || **10** πλανητῶν **ΕΩ**

600 4 τῶν ἄλλων om. **E** || **5** βουκόλους] cf. P.Gurob (fr. 578) 25 et adn. ad loc. || **7** ἤπερ Fritsche : per ἢ cod. || **9ss** cf. Ricciardelli in: Tortorelli-Storchi-Visconti

παραπλήσιοι λόγου τινὸς ἔχεσθαί φασιν, ὅπως ἂν ἡ τῶν ἀμαθεστέρων πτοίησις διὰ βίον ἢ τύχην ὑπὸ τῶν ἐν ταύταις μελωιδιῶν τε καὶ ὀρχήσεων ἅμα παιδιαῖς ἐκκαθαίρηται.

601 T

Io. Lyd. De mens. 4, 51 (107, 19 Wünsch) ἐν ἀπορρήτωι δὲ τῶι Διονύσωι τὰ μυστήρια ἐτελεῖτο ... καὶ εἴσοπτρον (sc. παρελάμβανον) οἱονεὶ τὸν διαυγῆ οὐρανόν.

de ritibus Orphicis singularibus (frr. 602-624)

notitias habemus de quibusdam ritibus Orphicis singularibus ad quos celebrandos carmina (ut vid. brevia) composita sunt | cf. Θυηπολικόν (frr. 692-694)

Θρονισμοὶ Μητρῶιοι (frr. 602-605)

'Orphei Θρονισμοὺς μητρώιους sacrorum Phrygiorum causa et ad celebrandam mystarum incathedrationem scriptos arbitror' Lob. 368s | Θρονισμοὺς μητρώιους καὶ Βακχικά unum carmen sec. Krüger, Quaestiones orphicae, diss. Halle 1934, 68 : recte contradixit Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1407, cf. et. Hiller, Hermes 21, 1886, 364s || de hoc carmine cf. et. Giseke, Rh. Mus. 8, 1853, 117; Tannery, Rev. Philol. 24, 1900, 101; Kern, Herm. 51, 1916, 562, qui attulit Hymn. 27, 4 σκηπτοῦχε κλεινοῖο πόλου, πολυώνυμε, σεμνή, / ἣ κατέχεις κόσμοιο μέσον θρόνον, οὕνεκεν αὐτὴ / γαῖαν ἔχεις θνητοῖσι τροφὰς παρέχουσα προσηνεῖς (de quibus cf. Ricciardelli ad loc.), Nock, Journ. Hell. Stud. 46, 1926, 47s; Nilsson, Gesch. Gr. Rel., München [3]1974, II, 642; 680; Burkert, Homo Necans, 1972, 266s; Kerényi, Dionysos, 1976, 263ss; West, Orphic Poems 27 adn. 76 || icon. de urna Lovatelli saec. II p. C. n. cf. Burkert 267 cum bibliographia | de incathedratione cf. et. Hesych. s. v. θρόνωσις· καταρχὴ περὶ τοὺς μυουμένους, P. Mag. VII 745 πάντως δέομαι,

(edd.), Tra Orfeo e Pitagora, Napoli 2000, 265 || **11** πτοίησις Meibom : ποίησις cod. || **12** παιδιαῖς] cf. Plat. Remp. 364d (fr. 573 I) διὰ ... παιδιᾶς ἡδονῶν et adn. ad loc.

601 de speculo in ritis Bacchicis cf. ad fr. 309 | cf. Io. Lyd. De mens. 4, 51 (107, 10 Wünsch, cf. frr. 327 I, 497 II) τέταρτος ὁ Διὸς καὶ Σεμέλης, ὧι τὰ Ὀρφέως μυστήρια ἐτελεῖτο, καὶ ὑφ' οὗ οἶνος ἐκεράσθη

ἱκετεύω, δοῦλος ὑμέτερος καὶ τεθρονισμένος ὑμῖν (de quo cf. Graf in: Faraone–Obbink [edd.], Magika Hiera, New York-Oxford 1991, 188ss adn. 6, 43 et 71; Betz, The Greek magical papyri in translation, ²1992, 139 adn. 134) | cf. et. ridiculam imitationem ap. Aristoph. Nub. 254 κάθιζε ἐπὶ τὸν ἱερὸν σκίμποδα, de qua cf. Dieterich, Rh. Mus. 48, 1893, 275ss = Kl. Schr. 1911, 117ss; Méautis, Rev. Hist. Rel. 118, 1938, 93ss; Burkert 268 adn. 16; Dover, Clouds ad loc.; Freyburger-Galland in: L'Initiation, Montpellier 1992, 185ss; Bonnechere, Rev. ét. gr. 111, 1998, 436ss; eund. in: Cosmopoulos (ed.), Greek Mysteries, London 2003, 175; 185 adn. 35 | in Pind. vit. ap. Sud. tradita afferuntur Ἐνθρονισμοί et Βακχικά, cf. Hiller, Herm. 21, 1886, 365; Schroeder, Pind. Carm. 388 | cf. et. Κορυβαντικόν (frr. 610-611)

602 T (p. 298 K.)

Plat. Euthyd. 277d ποιεῖτον (sc. τὼ ξένω) δὲ ταὐτὸν οἱ ἐν τελετῆι τῶν Κορυβάντων, ὅταν τὴν θρόνωσιν ποιῶσιν περὶ τοῦτον ὃν ἂν μέλλωσι τελεῖν. καὶ γὰρ ἐκεῖ χορεία τίς ἐστι καὶ παιδιά, εἰ ἄρα καὶ τετέλεσαι.

603 T (3 [B 4] c C.)

Dio Chrys. 12, 33 σχεδὸν οὖν ὅμοιον ὥσπερ εἴ τις ἄνδρα Ἕλληνα ἢ βάρβαρον μυοίη παραδοὺς εἰς μυστικόν τινα οἶκον ὑπερφυῆ κάλλει καὶ μεγέθει, πολλὰ μὲν ὁρῶντα μυστικὰ θεάματα, πολλῶν δὲ ἀκούοντα τοιούτων φωνῶν, σκότους τε καὶ φωτὸς ἐναλλὰξ αὐτῶι φαινομένων, ἄλλων τε μυρίων γιγνομένων, ἔτι δὲ {εἰ} καθάπερ εἰώθασιν ἐν τῶι καλουμένωι θρονισμῶι καθίσαντες τοὺς μυουμένους οἱ τελοῦντες κύκλωι περιχορεύειν· ἆρά γε τὸν ἄνδρα τοῦτον μηδὲν παθεῖν εἰκὸς τῆι ψυχῆι μηδ' ὑπονοῆσαι τὰ γιγνόμενα, ὡς μετὰ γνώμης καὶ παρασκευῆς πράττεται σοφωτέρας, εἰ καὶ πάνυ τις εἴη τῶν μακρόθεν καὶ ἀνωνύμων βαρβάρων, μηδενὸς ἐξηγητοῦ μηδὲ ἑρμηνέως παρόντος, ἀνθρωπίνην ψυχὴν ἔχων;

602 cf. Linforth, Univ. of Calif. publ. in Class. Phil. 13, 1946, 124ss || **2** Κορυβάντων] cf. frr. 610s | ποιῶνται in mg. **T** || **3** παιδιά] cf. Plat. Remp. 364e (fr. 573 **I**) διὰ ... παιδιᾶς ἡδονῶν et adn. ad loc., vid. et. Lada-Richards, Initiating Dionysus, Oxford 1999, 101 (cum **icon**. in adn. 216) et introd. ad frr. 573-576

603 cf. Burkert, Ancient mystery cults 89s; eund. in: Marinatos-Hägg (edd.), Greek Sanctuaries, New York 1993, 185s ('Samothrace becomes an obvious guess'); Scarpi, Le religioni dei misteri, Milano 2002, 537s; Clinton in: Cosmopoulos (ed.), Greek Mysteries, London-New York 2003, 63; Bonnechere, ibid. 185s || **2** μυοίη De Arnim : μυεῖσθαι libri | οἶκον] μῦθον **UBM** || **4** ἐναλὰξ **U** | αὐτῶι] αὐτῶν **M** || **5** εἰ secl. De Arnim || **7** εἰκὸς om. **M** || **8** σοφοτέρας **P** || **10** παρόντων **U**

604 T

Procl. Theol. Plat. VI 13 (VI 65, 17 Saffrey-Westerink) καὶ τούτων ἐναργέστερον μὲν ἡ τοῦ Ὀρφέως μυστικὴ παράδοσις διαμνημονεύει· πειθόμενος δὲ ταῖς τελεταῖς ὁ Πλάτων καὶ τοῖς περὶ αὐτὰς δρωμένοις ἐνδείκνυται περὶ αὐτῶν, ἐν μὲν τοῖς Νόμοις (790d) τῆς ἐκ Κορυβάντων καταυλήσεως ἡμᾶς ἀναμιμνήισκων τῆς πᾶν τὸ ἄτακτον καὶ θορυβῶδες κίνημα καταστελλούσης, ἐν δὲ τῶι Εὐθυδήμωι (277d, cf. fr. 602) τοῦ θρονισμοῦ μεμνημένος ὃν ἐν τοῖς Κορυβαντικοῖς ἐπετέλουν· ὥσπερ δὴ καὶ ἐν ἄλλοις (Leg. 796b) τῆς Κουρητικῆς ἐπεμνήσθη τάξεως, 'Κουρήτων τε ἐνόπλια παίγνια' λέγων. sequitur fr. 198 III.

605 T

(I) Suda s. v. Ὀρφεύς (III 565, 5 Adler), plura invenies in fr. 1018 IV (ἔγραψε) Θρονισμοὺς Μητρώιους καὶ Βακχικά (cf. fr. 835)· ταῦτα Νικίου τοῦ Ἐλεάτου (fr. 1102) φασὶν εἶναι || (II) Porphyr. Vit. Pyth. 17 τόν τε στορνύμενον αὐτῶι κατ' ἔτος θρόνον ἐθεάσατο. plura invenies in fr. 571.

Ἱεροστολικά (fr. 606)

carmen Ἱεροστολικά de vestitu sacro sive initiatorum sive simulacrorum divinorum praecipere videtur | cf. Eisler, Weltenmantel und Himmelzelt, München 1910, 51ss; Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1409s; Henrichs, Phoinikika des Lollianos 114ss; West, Orphic Poems 27s; Livrea, Gnomon 58, 1986, 692s ('vestizione rituale contenuta nella Visio Dorothei, 328 ss'), cf. et. Orac. Chald. 2, 1ss Des Places ἑσσάμενον πάντευξον ἀκμὴν φωτὸς κελάδοντος / ἀλκῆι τριγλώχινι νόον ψυχήν θ' ὁπλίσαντα, Gigli Piccardi, Cosmogonia di Strasburgo 101; Plut. de Iside 3 p. 352b οὗτοι (sc. ἱεραφόροι καὶ ἱεροστόλοι) δ' εἰσὶν οἱ τὸν ἱερὸν λόγον περὶ θεῶν πάσης καθαρεύοντα δεισιδαιμονίας καὶ περιεργίας ἐν τῆι ψυχῆι φέροντες ὥσπερ ἐν κίστηι καὶ περιστέλλοντες, τὰ μὲν μέλανα καὶ σκιώδη τὰ δὲ φανερὰ καὶ λαμπρὰ τῆς περὶ θεῶν ὑποδηλοῦντες οἰήσεως, οἷα καὶ περὶ τὴν ἐσθῆτα τὴν ἱερὰν ἀποφαίνεται | Ἱεροστολικά cum Καταζωστικῶι (q. v.) componit Lob. 371; 727 | huic carmini fr. 541 attribuit Schuster 29 adn. 2, prob. West: at cf. ad loc.

604 3 αὐτὰς **P²** : αὐτοὺς **P** || **8** τε **P** : om. Platonis libri | de Curetibus cf. adn. ad fr. 198

605 cf. Kern, Hermes 51, 1916, 562s || **3** εἶναι] εἰσιν **AM** : om. **S**

606 T

Suda s. v. Ὀρφεύς (III 564, 28 Adler) plura invenies in fr. 1018 IV (ἔγραψε Τριαγμούς·) ἐν δὲ τούτοις τὰ Ἱεροστολικὰ καλούμενα.

[Καθαρμοί] (fr. 607)

fragmenta quaedam carmini Orphico Καθαρμοῖς intitulato attribuit Kern; at loci sicut fr. 607 et Carm. Aur. 67s ἀλλ' εἴργου βρωτῶν ὧν εἴπομεν ἔν τε καθαρμοῖς ἔν τε λύσει ψυχῆς (cum comm. v. d. Thom ad loc. p. 215ss) non de carmine sic intitulato agunt sed generaliter de carminibus in purgationibus usurpatis, cf. Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1410; Brisson, ANRW II 36.4, Berlin-New York 1990, 2915; qua de causa recte nihil de hoc carmine memorat West, Orphic Poems

607 T

Euseb. Praep. Ev. 5, 31, 3 (= Oenomaus fr. 11C Hammerstaedt) ὡς μὴ μᾶλλον τῆς Κρήτης σὺ καθαρμοῦ προσδέηι, Ὀρφικούς τινας ἢ Ἐπιμενιδείους (fr. 12) καθαρμοὺς φανταζόμενος.

Καταζωστικόν (fr. 608)

'fortasse a cinguli sacri traditione nomen habet, quo recens initiati tum in Samothraciis mysteriis tum in aliis ornari solebant' Lob. 372, idem carmen atque Ἱεροστολικά esse ratus (vid. West, Orphic Poems 27: 'Katazostikon and Hierostolika ... probably belonged to the same or similar rituals of initiation'), cf. Inscr. Torre Nova (fr. 585) ἀπὸ καταζώσεως, Lollian. Phoinik. fr. B1 r. 10 περίζ[ωμα περὶ τῆι κοιλίαι] ἔχων φοινικοῦ[ν et Henrichs adn. ad loc. 114s, Schol. Apoll. Rhod. 916-18a (77, 15 Wendel) τὰς τελετὰς λέγει τὰς ἐν Σαμοθράικηι ἀγομένας ... καὶ Ὀδυσσέα δέ φασι μεμυημένον ἐν Σαμοθράικηι χρήσασθαι τῶι κρηδέμνωι ἀντὶ ταινίας (ε 346)· περὶ γὰρ τὴν κοιλίαν οἱ μεμυημένοι ταινίας ἅπτουσι πορφυρᾶς, vid. et. Radermacher, Sitzungsber. Wien. Akad. CLXXXVII 3, 135, n. 2; Kern, Kabeiros und Kabeiroi, RE X 2 (1919) 1429; Cumont, Am. Journ. Arch. 37, 1933, 256ss; Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1410; Boyancé, Rev. ét. anc. 68, 1966, 47; Seaford, Class. Quart. 31, 1981, 259

606 2 Τριαγμούς Küster (coll. Harpocr. s.v. Ἴων) : Τριασ- cod.
607 1 ὡς] εἰ **B** || **2** καθ' ὅρμον **A** | προσδέηι om. **A** | Ἐπιμενιδείους **N²** Stephanus : -δίους cod. || **3** καθ' ὅρμους **A**

608 T

SUDA s. v. Ὀρφεύς (III 565, 10 Adler), plura invenies in fr. 1018 IV (ἔγραψε) Καταζωστικόν.

Κλήσεις κοσμικαί (fr. 609)

nihil de hoc carmine notum est et forsitan nullum carmen huius tituli unquam fuerit, si verum est quod annot. Die. ad fr. 609; vid. et. Eschenbach, Epigenes 199; Lob. 134; Giseke, Rh. Mus. 8, 1853, 111; Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1410s, et West, Orphic Poems 36: 'we may assume these [i. e. Cosmic invocations] to have been composed under the Empire'

609 T

SUDA s. v. Ὀρφεύς (III 564, 28 Adler) plura invenies in fr. 1018 IV (ἔγραψε Τριαγμούς·) ἐν δὲ τούτοις τὰ Ἱεροστολικὰ καλούμενα (cf. fr. 606)· Κλήσεις κοσμικαί.

Κορυβαντικόν (fr. 610-611)

cf. Plat. Euthyd. 277d (fr. 602) ἐν τελετῆι τῶν Κορυβάντων, vid. et. Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1411; West, Orphic Poems 27 'Korybantikon and Enthronements for the mother (cf. frr. 602-605) ... must belong to those Corybantic rites in which the novice was set on a throne and the initiates danced round him'

608 2 Καταζωτικόν **S**
609 2 Τριαγμούς Küster (coll. Harpocr. s.v. Ἴων) : Τριασ- cod. | Κλίσεις **GSM** || **2-3** Κλήσεις κοσμικαί pro scholio Christiani cuiusdam habuit Die., qui vertit 'heidnische Litanien' || **3** κοσμικὰς **S** : κοσμικαίας **GM**

610 T

Orph. Arg. 25 ὄργιά τ' Ἰδαίων, Κορυβάντων τ' ἄπλετον ἰσχύν.

611 T

Suda s. v. Ὀρφεύς (III 565, 10 Adler), plura invenies in fr. 1018 IV (ἔγραψε) Κορυβαντικόν.

Νεωτευκτικά (fr. 612)

nihil praeter titulum scimus de hoc carmine, quod Fabricius putat praecepta de templis et delubris constituendis et rite dedicandis tradidisse (ap. Lob. 375, qui adfert Poll. 10, 188 ἐν τῆι τοῦ νεὼ ποιήσει, ἣν ἢ Φίλων ἢ Θεόδωρος συνέθηκε), prob. West, Orphic Poems 28 : per errorem Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1412: 'Lobeck I 375 denkt an den Bau der Argo', cf. Kern qui hoc cum fr. 706 comparavit

612 T (p. 311 K.)

Suda s. v. Ὀρφεύς (III 564, 29 Adler), plura invenies in fr. 1018 IV (ἔγραψε) Νεωτευκτικά.

610 cf. Vian, Notice 11; Sánchez Ortiz de Landaluce, Estudios sobre las Argonáuticas órficas, Amsterdam 1996, 262s || ὅρκια **Ω** | τ'[2] om. **K** | de Dactylis Idaeis cf. Phor. fr. 2 et adn. ad loc., Diod. 5, 64, 4 (fr. 519), de Corybantibus cf. fr. 520 et adn. ad loc., Linforth, The Corybantic rites in Plato, Univ. of Calif. publ. in Class. Phil. 13, 1946, 124ss | vid. et. tab. defix. Antiochiae inventa saec. V-VI p. C. n. (ed. Hollmann, Zeitschr. Pap. Epigr. 145, 2003, 67ss) ubi Καδμῖλος (vv.1-2) et Κορυβάντων (v. 6) et alia nomina ab Argonauticorum auctore laudata inveniuntur; vid. Hollmann, comm. ad loc., 71 et adn. 16 qui cft. et. Orph. εἰς Μουσ. 20 Κουρῆτάς τ' ἐνόπλους Κορύβαντάς τ' ἠδὲ Καβείρους

612 cf. Lob. 375 || **2** Νεωτευκτικά Hemsterhuis, Fabricius : Νεο- cod. : Ναο- Lob.

Νυκτέλια (fr. 613)

613 T

(I) PLUT. de Iside 35, p. 364f ὁμολογεῖ δὲ καὶ τὰ Τιτανικὰ καὶ Νυκτέλια τοῖς λεγομένοις Ὀσίριδος διασπασμοῖς καὶ ταῖς ἀναβιώσεσι καὶ παλιγγενεσίαις || (II) PLUT. E ap. Delph. 9, p. 388f κρυπτόμενοι δὲ τοὺς πολλοὺς οἱ σοφώτεροι τὴν μὲν εἰς πῦρ μεταβολὴν Ἀπόλλωνά τε τῆι μονώσει Φοῖβόν τε τῶι καθαρῶι καὶ ἀμιάντωι καλοῦσι, τῆς δ' εἰς πνεύματα καὶ ὕδωρ καὶ γῆν καὶ ἄστρα καὶ φυτῶν ζώιων τε γενέσεις τροπῆς αὐτοῦ καὶ διακοσμήσεως τὸ μὲν πάθημα καὶ τὴν μεταβολὴν διασπασμόν τινα καὶ διαμελισμὸν αἰνίττονται, Διόνυσον δὲ καὶ Ζαγρέα καὶ Νυκτέλιον καὶ Ἰσοδαίτην αὐτὸν ὀνομάζουσι καὶ φθοράς τινας καὶ ἀφανισμοὺς εἶτα δ' ἀναβιώσεις καὶ παλιγγενεσίας οἰκεῖα ταῖς εἰρημέναις μεταβολαῖς αἰνίγματα καὶ μυθεύματα περαίνουσι.

613 cf. Linforth 315ss; Nilsson, The Dionysiac mysteries of the Hellenistic and Roman age, Lund 1957, 38ss; Freyburger-Galland – Freyburger – Tautil, Sectes religieuses en Grèce et à Rome, Paris 1986, 78s; Casadio, Didattica del Classico II, Foggia 1990, 288; eund. in: Borgeaud (ed.), Orphisme et Orphée 133 adn. 37; eund., Il vino dell'anima, Roma 1999, 104s; Froidefond ad Plut. loc. p. 286 adn. 8; Bernabé in: Pérez Jiménez et al. (edd.), Plutarco, Platón y Aristóteles, Madrid 1999, 197 || **1** Τιτανικὰ] 'evidentemente evocano lo smembramento del dio fanciullo' Casadio (1999) 104 adn. 45 | Νυκτέλια Squire : νὺξ τελεία cod. | de Nycteliis cf. Servium in Aen. 4, 303 (518, 15 Thilo-Hagen) *nocturnusque nocte celebratus* (*-tas* **N**): *unde ipsa sacra nyctelia* (*nictelia* **NH** : *nictralia* **M**) *dicebantur: quae populus Romanus exclusit* (om. **F**) *causa turpitudinis,* vid. et. Plut. Aet. Rom. 112 p. 291a, Aet. Gr. 37 p. 299d, Quaest. conv. 4, 6, 2 p. 672a (fr. 591), Diod. 4, 4, 1 μυθολογοῦσι δέ τινες καὶ ἕτερον Διόνυσον γεγονέναι πολὺ τοῖς χρόνοις προτεροῦντα τούτου. φασὶ γὰρ ἐκ Διὸς καὶ Φερσεφόνης Διόνυσον γενέσθαι τὸν ὑπό τινων Σαβάζιον ὀνομαζόμενον, οὗ τήν τε γένεσιν καὶ τὰς θυσίας καὶ τιμὰς νυκτερινὰς καὶ κρυφίους παρεισάγουσι διὰ τὴν αἰσχύνην τὴν ἐκ τῆς συνουσίας ἐπακολουθοῦσαν | et. Bacchus Νυκτέλιος nominatur, cf. Servium in Georg. 4, 520 (III 358, 3 Thilo-Hagen) *nocturnique orgia quia sacra eius nocte celebrantur: ex quo Nyctelius* (*Nictelius* **V**) *est cognominatus,* vid. et. Paus. 1, 40, 6, Anth. Pal. 9, 524, 14, Herodian. καθ. προσωιδ. 131, 10, Nonn. Dion. 7, 349; 9, 114; 22, 6 al., Anth. Gr. App. Epigr. sepulcr. 330, 1 | de re cf. Froidefond ad loc. p. 208; Casadio (1999) 105 adn. 46; vid. et. νυκτιπόλου in Eur. Cret. fr. 2 Jouan–Van Looy (= Orph. fr. 567) 11 || **2-3** παλιγγενεσίαις] Orphicum ritum redolet, cf. et. Bernabé in: Gallo (ed.), Plutarco e la religione, Napoli 1996, 81s; Casadio, ibid. 210s || **4** μονώσει] Apollinis nomen interpretatur ut ἀ- privativum et πολλοί, cf. Plat. Cratyl. 405c || **5** καθαρῶι] cf. φοῖβος 'purus' et Plut. E ap. Delph. 20 p. 293c || **8** Ἰσοδαίτην] cf. Flacelière ad loc. p. 170 || **9** εἶτα δ' Stegmann : οἱ τὰς cod. | ἀναβιώσεις Amyot : ἀποβιώσεις cod.

Ὅρκοι (frr. 614-624)

verisimile est fr. 619 (ubi de Nocte et Phanete loquitur) e iure iurando in Bacchicis mysteriis dato venire, sed fr. 620 (ubi Pater divinus mundi creator laudatur) ex opere quodam Iudaico (vel Hermetico, vid. ad fr. 620), ut recte admonuit Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1412s, prob. West, Orphic Poems 34s; Brisson, ANRW II 36.4, 1990, 2923; cf. et. Riedweg, Ps.-Justin (Markell von Ankyra?) Ad Graecos, Basel 1994, II 334ss | vestigia Bacchicorum sunt iura iuranda mystarum in duabus papyris servata (fr. 621), aliud apud Hippol. (fr. 622) et alia magorum (fr. 623) et alchemistarum (fr. 624) | alii loci in quibus de Orphicorum iure iurando agi videtur sunt sec. Kern, Orph. fr. p. 312s: Eur. Hipp. 1308 οὐδ' ... ὅρκων ἀφεῖλε πίστιν, Plat. Resp. 363d εὐόρκου et Pind. Ol. 3, 41 φυλάσσοντες μακάρων τελετάς : recte contradixit Ziegler 1413 | de iure iurando in mysteriis cf. et. Hirzel, Der Eid, Leipzig 1902, 111 adn. 4; Henrichs, Phoinikika des Lollianos 37ss | vid. Pythagoricum iusiurandum ap. Aet. 1, 3, 8 (p. 170 Thesleff) οὐ μὰ τὸν ἁμετέραι κεφαλᾶι παραδόντα τετρακτὺν / παγὰν ἀενάου φύσεως ῥίζωμά τ' ἔχουσαν

testimonia de iuramentis Orphicis (frr. 614-618)

614 T (p. 312 K.)

Ps.-Iustin. Coh. ad Gr. 15, 2 (45 Marc.), pergit fr. 543 II καὶ ἐν τοῖς Ὅρκοις (sc. Ὀρφεύς cf. 15, 1). sequitur fr. 620.

615 T (p. 312 K.)

Theo Smyrn. Expos. rer. math. 105, 1, Hiller plura invenies in fr. 619 | ἐν τοῖς Ὀρφικοῖς Ὅρκοις ἔστιν εὑρεῖν κτλ.

614 versus sequentes Hermae Trismegisto trib. Malal., Suda, al., cf. ad fr. 620

616 T (p. 312 K.)

SYRIAN. in Aristot. Metaph. 43, 23 Kroll Χρόνον (cf. fr. 109 VII) δὲ καὶ Ὀρφεὺς τὸ πρῶτον ἐκάλει· ὁ δὲ ὅρκον μὲν τὸ πρῶτον ὡς ἕρκος καὶ φρουρὰν τῶν ἄλλων, τὴν δὲ ἀπ' αὐτοῦ προϊοῦσαν εἰς τὰς δύο τῶν ὅλων ἀρχὰς τελειότητα τὴν μετροῦσαν αὐτῶν τὰς δυνάμεις καὶ τὰς ἐπικρατείας τελείωσιν ὠνόμασε χρόνου, ὡς εἰ ἔλεγε τὴν ἀπὸ τοῦ χρόνου τελείωσιν.

617 T (p. 312 K.)

IUL. FIRM. MAT. Math. 7, 1, 1 (150 Monat) cum incognitis hominibus Orpheus sacrorum caerimonias <ostenderet>, nihil aliud ab his quos initiabat in primo vestibulo nisi iu<ri>siurandi necessitatem {et} cum terribili auctoritate religionis exegit, ne profanis auribus inventae ac compositae religiones proderentur.

618 T (p. 312 K.)

(I) VETTIUS VALENS 251, 4 Pingree χρὴ μὲν οὖν πρὸ πάντων καὶ περὶ ταύτης τῆς βίβλου ὅρκον προτάξαι τοῖς ἐντυγχάνουσιν, ὅπως πεφυλαγμένως καὶ μυστικῶς ἔχωσι τὰ λεγόμενα || (II) VETTIUS VALENS 344, 25 Pingree ἤν (sc. μυσταγωγίαν) φυλάσσειν σε διὰ τῶν προγεγραμμένων ὅρκων παραινῶ καὶ ‹κρύπτειν› τοὺς ἀναξίους ἢ ἀμυήτους μηδὲ φιλονείκως πρὸς αὐτοὺς φέρεσθαι· ἄμεινον γάρ ἐστίν σε σιγῶντα ἡττᾶσθαι ἢ νικῶντα ἀσεβεῖν εἰς τὰ θεῖα.

616 cf. Lob. 594; 959; Bignone, Boll. Fil. Class. 22, 1915, 269ss; Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1413

617 Lob. 187; Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1413 || **2** ostenderet **D**^{2} : aperiret *Aldina* : intimaret *Kroll, Skutsch et Ziegler* : *om.* **AD**^{1} **N** || **3** nisi] ad minus **AD** : ad unius *Ven.* | iu<ri>siurandi *Ven. Kroll, Skutsch et Ziegler* : iusiurandi **ADN** | et *delev. edd.* || **4** ne profanis auribus] *cf. fr. 1* | religionis **AN**

618 2 πεφυλαγμένως] cf. Lam. Thur. (fr. 487, 2) πεφυλαγμένον εὖ μάλα πάντα || **5** κρύπτειν add. Pingree monente Kroll

fragmenta iuramentorum Orpheo attributorum (frr. 619-620)

619 F (300 K.)

ναὶ μὴν ἀθανάτων γεννήτορας αἰὲν ἐόντων
πῦρ καὶ ὕδωρ γαῖάν τε καὶ οὐρανὸν ἠδὲ σελήνην
ἠέλιόν τε Φάνη τε μέγαν καὶ Νύκτα μέλαιναν.

619 (I) Theo Smyrn. Expos. rer. math. 104, 20 **Hiller** ἡ δὲ ὀγδοάς, ἥτις ἐστὶ πρῶτος κύβος, συντίθεται ἔκ τε μονάδος ‹καὶ ἑπτάδος› (add. **Bullialdus**). ἔνιοι δέ φασιν ὀκτὼ τοὺς πάντων κρατοῦντας εἶναι θεούς, ὡς καὶ ἐν τοῖς Ὀρφικοῖς Ὅρκοις ἔστιν εὑρεῖν· [1-3] ἐν δὲ Αἰγυπτιακῆι στήληι φησὶν Εὔανδρος (vid. app. crit.) εὑρίσκεσθαι γραφὴν βασιλέως Κρόνου καὶ βασιλίσσης Ῥέας || (II) Zenob. 5, 78 (Paroem. Gr. I 151, 3) Εὔανδρος ἔφη ὀκτὼ τοὺς πάντων εἶναι (om. **B**) κρατοῦντας θεούς, Πῦρ, Ὕδωρ, Γῆν, Οὐρανόν, Σελήνην, Ἥλιον, Μίθραν, Νύκτα

619 1-2 Orph. fr. 243, 8s πῦρ καὶ ὕδωρ καὶ γαῖα καὶ αἰθὴρ νύξ τε καὶ ἦμαρ / καὶ Μῆτις πρῶτος γενέτωρ καὶ Ἔρως πολυτερπής, cf. fr. 108 | Lam. Thur. (fr. 492) 5, vid. app. crit. || **1** Hes. Th. 21 al. ἀθανάτων ... αἰὲν ἐόντων | γ 147 al., Hymn. Merc. 548, Orph. Lith. 233 θεῶν ... αἰὲν ἐόντων (Α 290 al., ε 7 al., Hes. fr. 296, 2 M.-W. θεοὶ αἰὲν ἐόντες, α 293 al., Hymn. Ven. 62 θεοὺς ... αἰὲν ἐόντας, Hymn. Cer. 325 θεοὺς αἰὲν ἐόντας) | Orph. Hymn. 83, 1 Ὠκεανὸν ... αἰὲν ἐόντα | Hes. Th. 33 al., Op. 718, Orph. Lith. 37 αἰὲν ἐόντων || **2s** Σ 483s ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανόν, ἐν δὲ θάλασσαν, / ἠέλιόν τ' ἀκάμαντα σελήνην τε πλήθουσαν | Hes. Th. 19s Ἠῶ τ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην / Γαῖάν τ' Ὠκεανόν τε μέγαν καὶ Νύκτα μέλαιναν | Quint. Smyrn. 5, 7 οὐρανὸς ἠδ' αἰθήρ· γαίηι δ' ἅμα κεῖτο θάλασσα. / ἐν δ' ἄνεμοι νεφέλαι τε σελήνη τ' ἠέλιός τε || **3** Θ 486 al., Hes. Th. 481 al., Orph. Hymn. 12, 11 νύκτα μέλαιναν | Hes. Th. 123 μέλαινά τε Νύξ, cf. Ξ

619 vid. Lam. Thur. (fr. 492) 5 ἀέρ – πῦρ – Μᾶτερ (i. e. γῆ) – Νῆστι (i. e. ὕδωρ) νύξ – ἡμέρα et Bernabé in: Peláez (ed.), El dios que hechiza y encanta, Córdoba 2002, 65 'el cielo ... sustituye al aire, como en Emped. fr. 25 Wright [22 D.-K.] 2), ... Luna y Sol ... es otra manera de expresar la secuencia día noche ... Fanes y Noche (sc. son) duplicación, en términos divinos, de la luz del día y de la noche', cf. Lob. 742ss; Zoega, Abhandl., Göttingen 1817, 220; Schoemann, Opusc. acad. II, 1857, 15; Schuster 29s; Zeller. Zeitschr. wiss. Theol. 42, 1899, 224; 259 adn. 1 = Kl. Schr. II, 145; 174 adn. 1; Kroll, Lehren d. Herm. Trismegist. 184; Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1412s; West, Orphic Poems 34s; Brisson, ANRW II 36.4, 1990, 2923 | 'les ὅρκοι orphiques... (i. e. frr. 619 et 620) sont des productions littéraires, qui n'ont jamais appartenu à la pratique du culte' Cumont, Harv. Theol. Rev. 26, 1933, 158 adn. 16 || **1** αἰὲννεόντων **A**[1] : αἰὲν ἐόντας edd. priores ante v. d. Hiller || **2** γαῖαν **b A**[2] : γέαν **A**[1] | ἠδὲ Bullialdus : ἡ δὲ **A** || **3** Φανῆ τε **A**[1] : Φάνητα **A**[2] 'recte

620 F (299 K.)

Οὐρανὸν ὁρκίζω σε, θεοῦ μεγάλου σοφὸν ἔργον·
αὐδὴν ὁρκίζω σε πατρός, τὴν φθέγξατο πρῶτον,

620 (I) Ps.-Iustin. Coh. ad gent. 15, 2 (45 Marc.), pergit fr. 543 II, cf. fr. 614) καὶ ἐν τοῖς Ὅρκοις (sc. Ὀρφεύς cf. 15, 1) δὲ οὕτως· [1-3] II (II) Cyrill. Alex. c. Iulian. 1, 46 (196 Burguière-Eveux) καὶ μὴν καὶ Ὀρφεὺς αὖθις οὕτω πού φησι· [1-3] τὸν μονογενῆ Λόγον αὐτοῦ φησιν, unde II (III) Ioann. Malal. Chronograph. 2, 4 (20 Thurn) καὶ ταῦτα εἰρηκὼς (sc. Ἑρμῆς) ηὔξατο λέγων· [1] ἵλαως ἔσο [2-3] τὸν μονογενῆ Λόγον αὐτοῦ (cf. Corp. Herm. fr. 27 Nock-Festugière) II (IV) Georg. Cedren. Historia compend. 1, 37 (Patr. Gr. 121, 64D Migne); οὕτως εἰπὼν ὁ Ἑρμῆς

439, Quint. Smyrn. 5, 659 al. (gen. O 324, Hymn. Merc. 67 al., Pind. fr. 108b 2 Sn.-Maehl., Quint. Smyrn. 6, 262, Orph. Hymn. 7, 3 al.; dat. Θ 502 al., η 253 al., Hymn. Merc. 358)

620 de fr. universo cf. iura iuranda magorum (Orph. fr. 623) et alchemistarum (Orph. fr. 624); vid. et. Ps.-Clem. Rom. Diamart. 2, 1 μάρτυρας ἔχοιμι οὐρανόν, γῆν, ὕδωρ κτλ, et Nag Hammadi VI 6, 63, 16 II **2-3** Psalm. 32 (33) 6 τῶι λόγωι τοῦ κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, Sap. 9, 1 ὁ ποιήσας τὰ πάντα ἐν λόγωι σου, vid.

(cf. Zeller p. 87, 4); sed is quem Theo exscripsit aut pravam lectionem φανῆ τε vel Φάνη τε secutus est aut Φάνητα μέγαν a sole diversum esse falso putavit: nam octo deos his versibus enumerari aperte indicat' Hiller : at cf. Bernabé supra I 'Phanes is a distinctively Orphic figure, and his associations make it likely that this oath belongs to Dionysiac mysteries' West, Orphic Poems 34, prob. Brisson II 'quinam Euander ille fuerit (cf. I et II) nescimus. Εὔανδρος Pythagoreus in Iamblich. catalogo Die. I³ 344, 19 [i.e. 58 A D.-K.] ubi Nauck Μένανδρος posuit, attamen ego Εὔανδρος (v. Bechtel Histor. Personennamen 49) praetulerim. Euandri historia ad Euhemeri exemplum ficta esse videtur. deest huius scriptoris nomen RE² VI et in Gutschmidii scriptorum rerum Aegyptiacarum serie, Kl. Schr. I, 150. cum eis, qui Euander de Saturno et Rhea e columna Aegyptiaca rettulit, cf. titulum Ieticum Dittenberger, Sylloge I², 1267. de historia sacra columnae inscripta cf. Die. II³ 123 ad Ps.-Democriti fr. 299' Kern II in Zenob. loco Μίθραν plane pro Φάνητα, de iis confusis cf. Lob. 743; potius West, Orphic Poems 253, coll. fr. 678 Διὶ Ἡλίωι Μίθραι Φάνητι ἱερεὺς καὶ πατήρ

620 'a Jewish forgery' sec. West, Orphic Poems 35, prob. Brisson, ANRW II 36.4, 1990, 2923 (an Hermeticum? West, ibid. adn. 105, coll. Malal. fr.), cf. et. Lob. 737ss; Kroll, Lehren d. Herm. Trismegistos 56; 98; 148; 407; Zeegers-Vander Vorst, Les citations, Louvain 1972, 57s; Riedweg ad Ps.-Iustin. loc. p. 334ss II **1** ὁρκίζω σε, Οὐρανέ Malal. Suda ὁρκίζω σε, οὐρανοῦ Cedren. I μεγάλου ἐργάτα Cedren. I σοφὸν Ps.-Iustin. **m** p. c. : σοφοῦ Ps.-Iustin. **A** II **2** ὁρκίζω σε, φωνὴ (φωνὴν Chron. Pasch.) πατρός Malal., Cedren., Suda, Chron. Pasch. I ἣν Cyrill., Malal., Cedren., Suda, Chron. Pasch. I ἐφθέγξατο Ps.-Iustin., Malal., Cedren., Suda, Chron. Pasch. I

ἡνίκα κόσμον ἅπαντα ἑαῖς στηρίξατο βουλαῖς.

vestigia iuramentorum in mysteriis iurandorum (frr. 621-624)

621 V

27), Theophrast. Hist. Plant. 4, 14, 8 μετὰ τροπὰς χειμερινάς (Aristot. Meteor. 362a 22 μετὰ χειμ. τροπ., Probl. 941b 14 μετὰ τὰς χειμ. τροπ.), cf. et. Aristot. Hist. Anim. 625b 29, Meteor. 377a 25 al. | Diod. 14, 88, 2 τροπαὶ χειμεριναί, cf. 13, 8, 7 περὶ τὰς χειμερινὰς τροπάς, al. | Lucian. Dips. 2 ἀμφὶ τροπὰς τὰς χειμερινάς | Plut. De Iside 52 p. 372b ὑπὸ τροπὰς χειμερινάς al. | Galen. 6, 405, 9 περὶ τὰς θερινὰς τροπὰς ἢ χειμερινάς al. | Io. Lyd. Ost. 58 (115, 13 Wachsmuth) ὅταν δὲ ἥλιος ἀποστρέφων ἀπὸ τοῦ νοτίου καμπτῆρος ἐπὶ τὸν αἰγόκερων ἔλθηι, εἰ σεισμὸν συμβαίη γενέσθαι κτλ || **53** cf. v. 2 | Aesch. Pers. 101 πνεύματι λάβρωι || **54** E 737 al. ἐς πόλεμον ... δακρυόεντα | P 512 πόλεμον κάτα δακρυόεντα | Hes. fr. 25, 9 M.-W. ἐν πολέμ[ωι] ... δακρυόε[ντι | Quint. Smyrn. 7, 356 al. πολέμοιο ... δακρυόεντος | Quint. Smyrn. 13, 332 πολέμωι ἐνὶ δακρυόεντι || **55** Antiph. Anth. Pal. 9, 256, 3 κύων δένδρων καρποφθόρος || **56s** Io. Lyd. Ost. 58 (116, 4 Wachsmuth) ἡλίου ἐπὶ ὑδροχόον ἰόντος εἰ γένηται σεισμός κτλ | Apoll. Rhod. 3, 1229s φέγγος / ἠελίου || **57** Quint. Smyrn. 2, 496 πέριξ ἐλελίζετο γαῖα, cf. 12, 94s ἀμφὶ δὲ γαῖαν / ... ἐλέλιξεν, 12, 398 | Philipp. Anth. Pal. 9, 778, 1 Γαῖαν τὴν φερέκαρπον, ὅσην ἔζωκε περίχθων || **58** cf. v. 26 ἀνάστασιν ὠλεσίοικον et sim. illic laud. | B 12 al., δ 246 πόλιν εὐρυάγυιαν | ο 384 πτόλις ... εὐρυάγυια | χ 230 πόλις εὐρυάγυια || **60** E 254, φ 426 al. ἔμπεδόν ἐστιν | Nonn. Paraphr. 18, 154 ἔμπεδον εἴη || **61** cf. v. 16 || **61s** Io. Lyd. Ost. 58 (116, 11 Wachsmuth) ὅταν δὲ ‹ἐν› ἰχθύσι γένηται ἥλιος,

τόθι Abel | in mg. Ἥλιος ἐν Αἰγοκέρωτι. μηνὶ Ἰανουαρίωι add. **M** || **52** χειμερίνου **M** | εὔνυχος ἔλθηι **M** || **53** γαίη **M** || **54** πόλεμον δακρυτόν τε γενέσθαι **M** : unde πόλεμον πολυδάκρυτόν τε γενέσθαι Jacobs || **56** εἰ δέ κεν Ὑδροχόω διανείσσεται **UV** : Ὑδροχόωι δ' εὖτ' ἂν διανείσσεται **M** : inde Ὑδροχόου δ' εὖτ' ἂν διανίσσετ' Abel : εἰ δ' ἄν, ὅθ' Ὑδροχόον διανίσσεται Brunck, Cougny : εἰ δέ κ' ἐν Ὑδροχόωι δινεύσηι Jacobs | in mg. Ἥλιος ἐν Ὑδροχόωι. μηνὶ Φεβρουαρίωι add. **M** || **57** φεύγος **U** | νυκτερινὴ δὲ **UV** : νυκτερινῆι δὲ **M** : νυκτερίη δὲ nonn. codd. sec. Abel | πᾶσα περὶ χθών Abel | περίχθων scripsi : περιχθών Kern || **59** δήμου τι **U** : δήμον τε **V** | κακοφροσύνα **V** || **61** in mg. Ἥλιος ἐν Ἰχθύσι. μηνὶ Μαρτίωι add. **M** | τῶν

γῆς ἔνοσις γίνοιτο θοὴν διὰ νύκτα, τότ' ἔσται
πάσαις ἐν πολίεσσι περίστασις· εἰ δέ κεν ἠοῖ
γῆς κινηθείη πέδον ἱερόν, αὐτίκα πάσαις
εὐφόρβοισι βοῶν ἀγέλαις, οἰῶν τε καὶ ἄλλων
τετραπόδων φθόρος ἔσται ἀν' ἄστεα καὶ κατὰ χώρας.

Περὶ ἐμβάσεων (frr. 779)

Heeg, Die angeblichen Orphischen Ἔργα καὶ Ἡμέραι, Diss. Würzburg 1907, München 1907, 60 hoc carmen cuius paraphrasin habemus aetati Alexandrinae vel imperatoriae adscribit; versus heroicos qui in paraphrasi inveniuntur Dorothei carmini περὶ ἐπεμβάσεων adtribuit Kroll, Cat. Cod. Astr. VI, 91 n. IV, at ipse retractavit, Philol. 57, 1898, 132, locum Firmici (fr. 724) ad hoc carmen Orphicum spectare arbitratus; de re cf. et. Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1405; West, Orphic Poems 33

ἐὰν συμβῇ σάλος κτλ || **62** cf. v. 24 γῆς ἔνοσις et sim. illic laud. | K 394 al., Hes. Th. 481 θοὴν διὰ νύκτα (μ 284 διὰ νύκτα θοήν) || **63** Pind. fr. 43, 3 Sn.-Maehl. πάσαις πολίεσσιν || **64** Apoll. Rhod. 4, 1396, Quint. Smyrn. 8, 358, Orph. Hymn. πρὸς Μουσ. 8 ἱερὸν πέδον || **65** Λ 678 πεντήκοντα βοῶν ἀγέλας, τόσα πώεα οἰῶν, cf. 696 ἀγέλην τε βοῶν καὶ πῶϋ μέγ' οἰῶν, cf. Ο 323, Σ 528 al. | μ 129 ἑπτὰ βοῶν ἀγέλαι, τόσα δ' οἰῶν πώεα καλά, cf. 299 | Hes. fr. 180, 9 M.-W., Nonn. Dion. 34, 164 βοῶν ἀγέλας καὶ πώεα μήλων | Pind. Py. 4, 149 βοῶν ξανθὰς ἀγέλας || **65s** Orph. Hymn. 78, 11 ἄλλα τε φῦλα / τετραπόδων

Ἰχθύων **M** || **62** γίνοιτο **UV** : προγένοιτο **M** quod praef. Jacobs, Abel | θοὴ **M** | τότ' ἔσται om. **M** || **63** πολέσσι **U** : πολέεσι **V** | περίστασις] διάστασις **M** : at cf. Hesych. s. v. περίστασις· θλῖψις, ἀνάγκη, μέριμνα | κεν ἠοῖ Jacobs : κεν ἠῶ (vel ἠώ vel ἦω) cod. : κ' ἀν' ἠῶ vel κ' ἐν ἠοῖ Ludwich || **64** γαίης κινηθῇι **M** quod praef. Jacobs et Abel || **65** εὐφόρβοισι] hapax | οἴων **M** || **66** φθορά **M**

779 F (286 + 287 K.)

a ἀλλότριον διέπειν βίον
b λυτροῖ
καὶ κέρδη παρέχει, φήμας τε κενὰς καὶ θρύλλους
c πλὴν ὀλίγον πρότερον βλάψας
d εἰς δὲ Κρόνου Πυρόεις τόπον αἴσιός ἐστιν ἀμείβων.
ἔνθα γὰρ ἠμαύρωσε Κρόνου θυμαλγέα πάντα.
καὶ κακὸς εἰς ἀγαθὸν τρέπεται· πάσας γὰρ ἀνίας
καὶ νούσους κατέπαυσεν· ἄγει δ' ὄλβον τε δόμοισι
νίκην τ' εὐφροσύνην τε φέρει ‹καὶ› κῦδος ἀνέξει.
e πρῆξιν καὶ κῦδος ὀπάζει

779 (I) Cod. Ven. Marc. 334 (6) f. 168s. μζ´ μη´(A) et Cod. Ven. Marc. 335 (7) f. 137 ρσβ´ (B) = Cat. Cod. Astr. II, 1900, 198, 24 (cf. ibid. p. 35) καὶ ταῦτα μὲν ὁ Δωρόθεος· λέγει δὲ καὶ Ὀρφεὺς περὶ ἐμβάσεων ταῦτα· ὁ Κρόνος ἐπεμβὰς Διὶ σφάλματα βίου ποιεῖ καὶ κτημάτων ἐστὶ φθορεὺς καὶ γάμον σκεδάζει γυναικὸς καὶ εἰς πᾶν ἔργον βλάπτεται (βλαπτικός **B**)· ὁ Κρόνος εἰς Ἄρην αἴτιος συνοχῶν δεσμῶν νόσων, λυπεῖ (λύπης **B**) δὲ ἕνεκεν τέκνων, ὄλεθρον σημαίνει κτημάτων, τινὰς φυγοπάτριδας ποιεῖ ἢ θητεύοντας καὶ πενητεύοντας. ὁ Κρόνος εἰς Ἥλιον (τὸν Ἄρεα [ἥλιον **m^{2}**?] **A**) μετὰ κόπου τὰς πράξεις τελεῖ· φευκτέον δὲ τὸν πλοῦν καὶ τὰς ὁδοιπορίας διὰ φόβον λῃστῶν. ὁ Κρόνος εἰς Ἀφροδίτην ἐχθραίνει τοὺς συγγενεῖς καὶ τοὺς (om. **B**) φίλους, ἀπάτα καὶ ταραχὰς καὶ ζημίας ἐπάγει, ὁ δὲ ἔχων γυναῖκα αἰσχυνθήσεται διὰ τὴν αὐτῆς μαχλοσύνην. ὁ Κρόνος εἰς Ἑρμῆν φιλονεικίας καὶ κρίσεις σημαίνει καὶ ζημίας καὶ ταραχὰς καὶ θανάτους (δυνάτους **B**) ἀδίκους (καὶ add. **A**) συγγενῶν· φευκτέον δὲ τάς τε ἀγορὰς καὶ τὸ ἀνακοινοῦσθαι ἑτέροις τὰς (ἑτέρας add. **B**) πράξεις· δολοπλοκίας (-ίαν **B**) γὰρ ποιεῖ καὶ ἀπάτας. ὁ Κρόνος εἰς Σελήνην ἐπαναστάσεις τόπων ποιεῖ ἢ χρονίας νόσους ἢ κτημάτων ὄλεθρον καὶ ζημίαν. ὁ Κρόνος εἰς ἑαυτὸν μεταναστάσεις, ἐπὶ ξένων τόπων τε πλάνας (πλάνον ut vid. **A**) σημαίνει, ταραχάς τε καὶ εἱρκτὴν καὶ δεσμά, γονέων θανάτους, οἴκου καὶ χρημάτων ἀφανισμόν. ὁ Κρόνος εἰς τὸν ὡροσκόπον εἰς ἄλλην χώραν μεθιστᾶι, ποιεῖ δὲ καὶ ἀπάτας, ζημίας, κινδύνους.

779 a α 160 al. ἀλλότριον βίοτον | **b 2** Nonn. Dion. 5, 512 κενεὴ ... φήμη || **d 3** Panyas. fr. 19, 4 πάσας ... ἀνίας || **3s** Orph. Hymn. 68, 13 νούσων ... ἀνίην || **5** Hymn. Ven. 20 νίκην ... φέρεσθαι || **e** Hes. Th. 438 φέρει χαίρων τε, τοκεῦσι δὲ

779 cf. Heeg, Die angeblichen Orphischen Ἔργα καὶ Ἡμέραι, München 1907, 59 || **a** διέπειν βίον transposui : βίον διέπειν cod. || **d 1** pro Κρόνου hic et in v. 2 (et. infra in paraphrasi) signum astronomicum in cod. || **4** νούσους Heeg : νόσους cod. | τε δόμοισι ex δὲ δοιμοιῦ ab eadem manu correcta || **5** καὶ add. Heeg || **e** πνῆξιν **B** ||

f ἀστασίας ἐπάγων ταραχάς τε
g ἀρχαίων μνήμας ἐπάγει
h μέγα κῦδος ὀπάζει
i ἐξ ἰδίων ταραχὰς ἐπεγείρει
j πρῆξιν καὶ κῦδος ὀπάζει
k λέχος ἀντήλλαξε καὶ ἥττονι φωτὶ συνῆψεν.

ὁ Κρόνος εἰς τὸ μεσουράνημα εἰς ξένην γῆν ἀπάγει καὶ δόξαν δίδωσιν (**Kroll-Olivieri** : διδ **A** : διὰ **cum spat. 5 litt. B**) ἀλλ' ἕνεκα χρέους λυπεῖ. ὁ Κρόνος εἰς τὸ δῦνον καὶ τὸ ὑπόγειον ἢ τῶν οἰκείων οἴκων καὶ κτημάτων ἀπελαύνει ἢ εἰς ἀλλοδαπὴν (ἀλλοδαπὰ (?) **B**) ἀπάγει ἢ δορυαλώτους ποιεῖ ἢ τοὺς δούλους θανατοῖ (**edd.** : -τεῖ **cod.**).

ὁ Ζεὺς εἰς Κρόνον ἀνώμαλον τὴν πρᾶξιν τοῦ βίου, ποτὲ μὲν ἀγρῶν καὶ (**edd.** : ἢ **codd.**) θεμελίων κτῆσιν διδοὺς καὶ οἴκων ἢ [a] ποτὲ δὲ τῶν προτέρων ἔργων καὶ πράξεων ἀποσφαλλομένους ποιῶν (ποιεῖ **A**), ἄλλοις δαπάνας καὶ ζημίας ‹καὶ› (**add. edd.**) μακρονοσίας ἐπάγων. ὁ Ζεὺς εἰς ἑαυτὸν ὅσας θλίψεις εὕροι (εὕρῃ **A**) τούτων [b] ἐπάγει, εἰ μὴ τύχηι ἐν (τῶι **add. B**) ἰδίωι οἴκωι κατὰ πῆξιν. ὁ Ζεὺς εἰς Ἥλιον ἀργίαν ταῖς πράξεσι δίδωσι καὶ φθείρει τοὺς οἴκους ἢ νόσων ἢ κτημάτων ἀπώλειαν καὶ μάταιον τέλος τῶν πόνων καὶ ἐναντίον τελεῖ (**edd.** : τέλος **codd.** | ὁ Ζεὺς εἰς Ἥλιον – τελεῖ **post** δόξαν δίδωσι **transp. B**). ὁ Ζεὺς εἰς Ἄρην ἀγαθός· εἰ γὰρ εὕροι ἐν κακότητι καὶ συνοχῆι καὶ θλίψει, πάντων ἀπολύει, εἰ δὲ ἐν χαρᾶι (εὕροι – χαρᾶι **om. A**) εὕρηι διάγοντα, μείζονα τὴν εὐφροσύνην δίδωσιν, καὶ μειζόνων προσώπων φίλους ποιεῖ καὶ κτήσεις παρέχει καὶ τοὺς ἐχθροὺς λυπεῖ καὶ κέρδη καὶ δόξαν δίδωσι. ὁ Ζεὺς εἰς Ἀφροδίτην πλοῦτον σημαίνει ἀπροσδόκητον καὶ τῶν ἐχθρῶν ὑπέρτερον δείκνυσι καὶ τοῖς μὲν ἀγάμοις γάμον, τοῖς δὲ γεγαμηκόσι τέκνα παρέχει καὶ ταῖς πράξεσι τέλος ἐπιτίθησιν. ὁ Ζεὺς εἰς Ἑρμῆν φίλους μεγάλων ἀνδρῶν ποιεῖ, ὧν καὶ τὴν παρουσίαν (περιεργίαν **B**) οἰκονομεῖν πιστεύονται, καὶ αὐξάνουσι τὸν ἴδιον οἶκον· καὶ δῶρα ἐκ φίλων παρέχει· καὶ οὗτοι (**an** αὐτοὶ? **edd.**) μὲν εὐφραίνονται, λυποῦσι δὲ τοὺς ἐχθρούς, εἰ δὲ δίκην ἔχουσι, νικῶσι· δεῖ μέντοι τὸν τοῦ (**om. A**) Ἑρμοῦ ἀγαθύνεσθαι. ὁ Ζεὺς εἰς Σελήνην τοῖς μὲν γεγαμηκόσι τεκνογονίαν, τοῖς δὲ δικαζομένοις εὐτυχίαν καὶ κέρδος· [c] ὕστερον νίκην καὶ εὐπραγίαν παρέχει· ἐνίοτε δὲ καί τινας χρυσείαις κοσμεῖ σειραῖς. ὁ Ζεὺς εἰς τὸν ὡροσκόπον καὶ τὸ δῦνον κοινός (-νόν **A**)

κῦδος ὀπάζει | Θ 181 al., ο 320, Apoll. Rhod. 1, 511 (= Orph. fr. 67), Orph. fr. 779 j κῦδος ὀπάζει (Μ 255 al., γ 57, Hymn. Merc. 477 ὄπαζε, Apoll. Rhod. 1, 345 ὀπαζέτω) | Hes. Th. 433 νίκην ... ὀπάσαι καὶ κῦδος ὀρέξαι | Θ 176 νίκην καὶ μέγα κῦδος | Hes. Scut. 339 νίκην ... καὶ κῦδος ἔχουσα || **f** Vettius Valens 43, 25 Pingree Κρόνος Ἀφροδίτη Σελήνη ἀνωμαλίας καὶ ἀστασίας βίου ἐπάγουσιν | Adamant. Physiogn. 2, 39 τάραχος ἐν ὀφθαλμοῖς καὶ κεφαλῆς ἀστασία, cf. f || **h** cf. e || **i** cf. f || **j** cf.

f ταραχάς τε **scripsi** : καὶ ταραχάς **cod.** || **i** ἐγείρει **A** || **k** λέχη **B** | ἀντήλαξε **A** ||

l εὐφροσύνην δηλοῖ καὶ ‹πόλλ'› ἐν πράξεσι τέρπει
m ἐκ δ' ἀλόχων πηῶν τε φιλοφροσύνην κατὰ δῶμα
n νωχελίην θυμοῦ καὶ ἀεργίην ἅμ' ὀπάζει
o Ζῆνα τριγωνίζων Φαίνων μάλα γ' ἐσθλὸς ὑπάρχει

ἐστιν εἴς τε ἀγαθὰ καὶ κακά, ποτὲ μὲν κρίσεις ἐπιφέρων καὶ μάχας καὶ (edd. : ἢ cod.) ζημίας καὶ ἔχθρας, ποτὲ δὲ τούτων λυτροῖ καὶ κέρδη καὶ κτῆσιν (κτίσιν **A**) δίδωσιν, ἄλλοτε φιλίαν ἄλλοτε χηρείαν σημαίνει καὶ αἰσχρὰν (αἰχθρὰν **A**) φήμην γάμων καὶ ταραχὴν διὰ ταῦτα, πολλάκις δὲ καὶ συγγενικὸν φόνον ποιεῖται καὶ κληρονομίαν ἐκ τούτων παρέχει, καὶ τὸν πλανήτην (πρανήτ(εν) **A**) ἐπανάγει εἰς τὴν (om. **A**) πατρίδα· εἰς δὲ τὸ μεσουράνημα καὶ τὸ ὑπόγειον θανάτους γονέων καὶ νόσους καὶ κόπους καὶ θλίψεις· ἄλλοις γάμον παρέχει· ἑτέρους τῆς πατρίδος μετανιστᾶι· τὸ δὲ τέλος τῶν πράξεων ἔσται ἐπίμοχθον.

ὁ Ἄρης εἰς Κρόνον, ὅσα ὁ Κρόνος εἴωθε βλάπτειν, σώιζει οὗτος ταῦτα· πάσας γὰρ νόσους καὶ λύπας καταπαύει καὶ πλοῦτον καὶ νίκην καὶ εὐφροσύνην διδοῖ (quae plane paraphrasis versuum d 1-5 sunt). ὁ Ἄρης εἰς (τὸν add. **B**) Δία ὀλέθριος καὶ ἀπηνής, χρημάτων δαπάναι εἰς μάτην ἔσονται· καὶ ἐν δίκαις βλάπτει καὶ ἐχθροὺς ἀνιστᾶι. ταῖς δ' ἐγγύοις (edd. : δεγγύοις **A** : δ' ἐγγύαις **B**) τὰ ἔμβρυα φθείρεται ἢ τεχθέντα τάχιστον (τάχιον **B**) τελευτᾶι· βλάβας καὶ ὕβρεις σημαίνει καὶ τόπων μεταναστάσεις ποιεῖται· τάς τε πράξεις ἀχρειοῖ καὶ χάριν τέκνων ἢ γυναικὸς λυπεῖ καὶ ἔχθρας ἀφ' ἡγεμόνων διδοῖ καὶ ἐκ τοῦ δήμου χόλον (χολὴν **B**). ὁ Ἄρης εἰς ἑαυτόν, ἐκ τόπου μετανιστᾶι ἢ νόσους ποιεῖ ἢ σιδήρωι (-ρων **A**) αἱμάσσει ἢ πυρὶ φλογίζει, εἰς μέντοι τὸν βίον [e]. ὁ Ἄρης εἰς Ἥλιον ἐλαττοῖ τὰ κτήματα κἂν ταῖς πράξεσι κακός, λύπας ποιεῖ καὶ βλάπτει τὸν νοῦν, τινὰς χάριν κρυφίων ἔργων λυπεῖ· εἰ δὲ καὶ στηρίζηι, χαλεπωτέρους θορύβους τε (om. **B**) καὶ μάχας διὰ πράγματα κινεῖ καὶ ἀρχαίων ἕνεκεν πατρώιον ἔχθος διδοῖ, προδοσίας τε ἐκ τῶν φίλων καὶ ἔχθρας (ἄχθος **A**) ἐπάγει. ὁ Ἄρης εἰς Ἀφροδίτην· μάχην ἐκ γυναικὸς καὶ χόλον ὑπόπτευε· ποιεῖ γὰρ χωρισμὸν ἐπιπολὺ καὶ ὑποψίας μοιχικάς· ἐνίοτε καὶ τὰ τῶν ἀνδρῶν πάντα συλῶσιν. ὁ Ἄρης εἰς Ἑρμῆν ζημίας καὶ δίκας τὰς πλείους ψευδεῖς καὶ δολίους (δολίας **B**) καὶ ἀποκρύφων ἔργων αἰσχύνας καὶ ἀπάτας καὶ ἐπιορκίας, προδόσεις, φυγάδας τε καὶ δεσμοὺς (an φυγαδείας vel φυγάδας καὶ δεσμίους? edd.) ποιεῖ. ὁ Ἄρης εἰς Σελήνην· εἰ μὲν θῆλυ τὸ Ζώιδιόν ἐστι, περὶ νόσου μόνης φοβοῦ καὶ μάλιστα τῶν ὀφθαλμῶν, εἰ δ' ἄρσεν, τὴν πρᾶξιν τοῦ βίου ταράσσει, εἰ δὲ καὶ στηρίζηι, ἔτι μᾶλλον· τέκνων γὰρ ἀποστερεῖ (-οῖ **A**) καὶ ἀδελφοὺς θανατοῖ, κινδύνους καὶ θορύβους ἐπάγει καὶ εἰς ἀλλοδαπὴν ἀπάγει ἢ τὴν οἰκίαν (-κείαν **A**) μετήμειψε καὶ ἀπὸ ἄλλου ἔργου (εἰς add. **B**) ἄλλο ἔργον ἔδωκεν, εἰ μὴ τοῦ Κρόνου τὸ ζώιδιον τύχηι καὶ ταῦτα κωλύσηι· ἐν δὲ τοῖς κέντροις πᾶσι χαλεπός, [f] ἐν τοῖς οἴκοις καὶ τῶι βίωι (τῶν βίων **A**) λύπας καὶ μάλιστα διὰ γάμων ἐν τῶι δύνοντι· καὶ γὰρ καὶ ὠμοτοκίας

e || **m** γ 163 πόσιν πηούς τε | Hymn. Cer. 156 ἄλοχοι κατὰ δώματα || **n** Τ 411 βρα-

l πόλλ' addidi || **m** ποιῶν **B** || **o** 'signum trigoni cum ων superscr. codd.' edd. | ὑπάρχει

p Πυρόεντι τρίγωνος ἐὼν Φαίνων μέγ' ἄριστος

ποιεῖ· εἰς δὲ τὸ μεσουράνημα τὴν κοίτην τῶν συζύγων αἰσχύνουσιν ἢ καὶ νόσους ἐν τούτωι τῶι κέντρωι παρέχει.

ὁ Ἥλιος εἰς Κρόνον [g] καὶ τῶι βίωι τε πλοῦτον καὶ χαράν· ὁ Ἥλιος εἰς Δία [h] καὶ φήμας καλάς καὶ εὐφροσύνας καὶ ἐξ ἀφανῶν ἐμφανεῖς ποιεῖ (ὁ Ἥλιος – ποιεῖ **om. A**). ὁ Ἥλιος εἰς Ἄρην νόσωι κατακλίνει ἢ τῆς πατρίδος μεθιστᾶι, χρήματα φθείρει (φθείρη **A**) καὶ ἀκουσίους ζημίας ποιεῖ καὶ τοῖς φίλοις ἐχθρὸν καὶ [i], εἰ μὴ καὶ ὁ Ζεὺς κατ' ἐπέμβασιν ἐκεῖ γένηται. ὁ Ἥλιος εἰς ἑαυτὸν ἢ τὴν Σελήνην, νόσους καὶ ἀχρημοσύνας ποιεῖ καὶ ἐκ τῶν ἰδίων τόπων κινεῖ· πολλάκις δὲ καὶ ἐκ τῶν θλίψεων πλοῦτον φέρει. ὁ Ἥλιος εἰς Ἀφροδίτην ἀκαταστασίας αἴτιος, ταράσσει τὸν οἶκον χάριν γυναικῶν, εἰς δὲ τὰς δόσεις κέρδη παρέχει. ὁ Ἥλιος εἰς (δὲ **add. A**) τὸν Ἑρμῆν πλανᾶι τὸν νοῦν καὶ τὴν ψυχὴν λυπεῖ ἀπατῶν καὶ δαπάνας ματαίας ποιῶν· ὁ Ἥλιος εἰς τὰ κέντρα ἀπὸ τῶν οἴκων εἰς ἄλλους τόπους μεθιστᾶι καὶ νόσους ποιεῖ καὶ τὸ σῶμα χαλεπαίνει, ἐν δὲ μεσουρανήματι [j].

ἡ Ἀφροδίτη εἰς Κρόνον ἐπίκτησιν δηλοῖ καὶ δόξαν ἐν τῶι δήμωι καὶ ἐκ κρυφίων (ἐκτρυφίων **A**) βοηθεῖ, ἀλλ' εἰς τὸν γάμον κακοεργός· ἀναστατοῖ γὰρ ἢ ἄλλως [k]. ἡ Ἀφροδίτη εἰς (τὸν **add. A**) Δία, πέψεις, κινδύνους, νόσους, ἔχθρας, κρίσεις διὰ τοὺς οἰκείους (οἴκους **A** : **an** οἴκους καὶ οἰκείους? **edd.**) καὶ ἐν τοῖς οἴκοις καὶ τοῖς οἰκείοις φιλονεικίας· εἰ δὲ ἡ τούτου γυνὴ ἔγκυός (ἔγγυός **cod.**) ἐστιν, ἐκτιτρώσκει. ἡ Ἀφροδίτη εἰς τὸν Ἄρην στάσεις καὶ δαπάνας ἐκ γυναικῶν καὶ τόπου μετανάστασιν καὶ ταραχὰς (-χὴν **A**) εἰς τὸν βίον. ἡ Ἀφροδίτη εἰς Ἥλιον ἀκαταστασίαν (-ας **A**) ποιεῖ καὶ τὸν νοῦν πλανᾶι καὶ τὰς πράξεις καὶ ῥαθυμίας ποεῖ καὶ ψόγους καὶ στάσεις ἐν τοῖς οἰκείοις. ἡ Ἀφροδίτη εἰς ἑαυτήν· κοινή ἐστι καὶ ἐπίμοχθος, πῆ μὲν ἀγαθή, πῆ δὲ φαύλη (ἀγαθὰ ... φαῦλα **A**). ἡ Ἀφροδίτη εἰς τὸν Ἑρμῆν κληρονομίας δηλοῖ καὶ κτήματα αὐξάνει καὶ τέλος ἐν ταῖς πράξεσιν ἐπιτίθησιν· καὶ ἐν δίκαις νίκας παρέχει. ἡ Ἀφροδίτη εἰς τὴν (**om. A**) Σελήνην [l], κέρδος ἄμοχθον διδοῖ καὶ γάμωι συζεύγνυσι (**Kern** : -σιν **A** : συζευγνύει [**Kroll**] **vel** συνεγγύει [**Olivieri**] **B**), καὶ τεκνογονίαν ἐν θηλυκῶι ζωιδίωι οὖσα ποιεῖ. ἡ Ἀφροδίτη εἰς ὡροσκόπον καὶ μεσουράνημα ἱλαρὰ καὶ φαιδρὰ καὶ εὔπρακτος καὶ πλείονα τὴν κτῆσιν καὶ τὰ κέρδη ποιεῖ, εἰ δὲ καὶ στηρίζει (-ζηι **B**), ἔτι πλέον. ἡ Ἀφροδίτη εἰς τὸ ὑπόγειον κρυπτὰ πάθη καὶ λύπας ἐξ ἀλόχων, εἰ δὲ καὶ στηρίζει, καὶ μορίων ‹καὶ› (**suppl. edd.**) ἕδρας πάθη ποιεῖ καὶ τῶν κοσμίων ἀπώλειαν καὶ δάκρυα ἐπιφέρει τοῖς οἴκοις.

δυτῆτί τε νωχελίηι τε | **Vettius Valens 2, 5 Pingree** ποιεῖ δὲ καὶ ... νωχελίας | **Paul. Med. 4, 57, 10** ἀδυναμία μετὰ νωχελίας || **o Vettius Valens 71, 6 Pingree** Ἑρμῆς Δία τριγωνίζων μεγάλων πράξεων δηλωτικός || **p Vettius Valens 67, 23 Pingree** τοῦ Διὸς καὶ τοῦ Κρόνου δεξιῶν τῶι Ἡλίωι τριγώνων ὄντων | **Vettius Valens 70, 3 Pingree** Σελήνηι Ἑρμῆς τρίγωνος **al., B 82 al.,** χ 29 μέγ' ἄριστος

edd. : ὑπάρχεται **cod.** || **p** ἐὼν Φαίνων **edd.** (**'nisi fuit** Φαέθων**'**) : ὢν Φαένων **codd.**

Περὶ καταρχῶν (frr. 780-781)

carmen Orphicum περὶ καταρχῶν fluxisse ex paraphrasi aetatem Byzantinam redolente in cod. Bononiensi gr. 3632 f. 321r servata (Cat. Cod. Astr. IV, 38 n. 18, cf. Heeg, Die angeblichen Orphischen Ἔργα καὶ Ἡμέραι, Diss. Würzburg 1907, München 1907, 61) elucet, qui haec habet ‹Θεοφίλου› (e cod. Vat. gr. 212 n. 7 infra laud. suppl. ed.) ἐκ τῆς ιβ΄ τρόπου Ὀρφέως (-εος cod.)· περὶ καταρχῶν (-όν cod.). περὶ τροπικῶν ζωιδίων (τροπικὸν ζοδίον cod.), περὶ δισώμων (δησόμον cod.), περὶ στερεῶν ζωιδίων (ζοδίων cod.). idem tractatus invenitur in Cod. Paris. gr. 2381 (Cat. Cod. Astr. VIII 3, 55 n. 45) sed periit in Cod. Vat. gr. 212 n. 7 (Cat. Cod. Astr. V 1, 68) cuius in indice legitur Θεοφίλου περὶ

ὁ Ἑρμῆς εἰς τὸν Κρόνον αὔξει τὰς πράξεις καὶ τὴν κτῆσιν, τοὺς δ' ἐχθροὺς βλάπτει. ὁ Ἑρμῆς εἰς Δία πάντηι ἀγαθός. ἐξ ἐμπορίας (ἐμπερείας **A**) κέρδη διδοὺς καὶ φίλους ποιῶν ἐμφανῶν (edd. : -νεῖς cod.) καὶ δόξαν ἐν οἴκοις παρέχων καὶ κράτος. ὁ Ἑρμῆς εἰς Ἄρην ἐμπράκτους δηλοῖ καὶ τῶν φόβων ἀπολύει καὶ τέλος τοῖς πόνοις ἐπιτίθησιν. ὁ Ἑρμῆς εἰς Ἥλιον ἄστατος εἰς τέχνην καὶ πρᾶξιν, ἕως διέλθοι τὰς μοίρας (μ΄ μοίρας **B** : μ΄ μ΄ **A**) τοῦ Ἡλίου, μετὰ τοῦτο γὰρ εὔπρακτος (ἔμπρ- **A**). ὁ Ἑρμῆς εἰς Ἀφροδίτην πλοῦτον καὶ ἀλλότρια χρήματα δωρεῖται καὶ κλῆρον ἐκ τεθνεώτων, [m], ποιεῖ δὲ φίλους παίδων καὶ δούλων. ὁ Ἑρμῆς εἰς Σελήνην· τοῖς μὲν οἰκείοις στάσεις καὶ τὸν δῆμον ταράσσει καὶ ἐν ἀγοραῖς ψεύδη καὶ φιλονεικίας καὶ διαβολὰς (καὶ φίλον add. **A**) ἐγείρει, ἐκτὸς εἰ μὴ ἀγαθὸς ἴδοι (ἴδη **A**). πολλάκις γὰρ οὕτως (οὗτος **A**) ἐπιθεωρήσας ἀγαθὸς (-θὸν **A**) ἐπικερδῆ τὴν τούτου τέχνην πεποίηται. ὁ Ἑρμῆς εἰς τὸν ὡροσκόπον καὶ τὸ μεσουράνημα φιλίαν μεγιστάνων καὶ πίστιν ἐκ λόγων καὶ ἐν δήμοις τιμάς (τιμίας **A**)· εἰς δὲ τὸ δῦνον λύπας καὶ ἔχθρας, φροντίδας, κρίσεις, διὰ δάνεια οἰκτρά, εἰς δὲ τὸ ὑπόγειον χεῖρον κινδύνους καὶ βλάβας ἐκ κρυφίων καὶ παλαιῶν.

ἡ Σελήνη εἰς μὲν τὸν Κρόνον καὶ Ἄρην ἀργίαν ὄκνον (οἴκου **A**) καὶ ζημίας καὶ κινδύνους ἀφ' ὕψους ἢ ἀφ' αἵματος· τὸ μὲν ἐκ τοῦ Κρόνου, τὸ δὲ ἐκ τοῦ Ἄρεως· ἐν δὲ τοῖς ἄλλοις ἀστράσι καλή· ἡ Σελήνη εἰς τὸν (om. **A**) Ἥλιον ἢ εἰς ἑαυτὴν [n], ἐν δὲ τοῖς κέντροις ἐνίοτε μετοικίας ποιεῖ.

οὐ χρὴ δὲ μόνας ταύτας τὰς ἐπεμβάσεις σκοπεῖν, ἀλλὰ καὶ τὰς κατὰ τρίγωνον καὶ τετράγωνον καὶ (om. **A**) διάμετρον καὶ ἑξάγονον· οἷα γὰρ ἐν τῆι γενέσει κατὰ πῆξιν σημαίνει, τοιαῦτα καὶ ἐν τοῖς ἐπεμβάσεσιν· οἷον· [o] καὶ [p] || (II) Cod. Vatic. Gr. 1056 f. 155v-156v, cf. Cat. Cod. Astr. V 3, 43; Boll, Sphaera 34; Heeg, Die angeblichen Orphischen Ἔργα καὶ Ἡμέραι, München 1907, 59 παρεξεβλήθησαν κεφάλαια διάφορα σοφῶν πολλῶν ἀπὸ διαφόρων βιβλίων ἀποδεικνύοντα τὸ εἶναι καλὴν καὶ μὴ ἐναντίαν τὴν σύνοδον τοῦ Διὸς (Ἄρεως Heeg) καὶ τοῦ Κρόνου. ... τοῦ Ὀρφέως [d]. sequitur in codice haec paraphrasis: νοοῦνται δὲ ταῦτα οὕτως· ὁ Ἄρης ἀγαθὸς εἰς Κρόνον ἐρχόμενος· πάντα γὰρ τὰ ὑπὸ Κρόνου λυπρὰ ἐξήλειψε· καὶ τὰς νόσους ἔπαυσε, πλοῦτον δὲ καὶ νίκην εὐφροσύνην τε καὶ δόξαν αὔξει.

καταρχῶν διαφόρων τὰ πρῶτα κεφάλαια τῆς δωδεκατρόπου· Ὀρφέως· περὶ καταρχῶν τῶν ζωιδίων. α´ περὶ τροπικῶν ζωιδίων. β´ περὶ δισώμων. γ´ περὶ στερεῶν. Theophilus Edessenus mortuus est anno 785, cf. Heeg 61ss; Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1405s; West, Orphic Poems 33

780 T (288 K.)

CAT. COD. ASTR. IV, 43 indicavit Cumont, edidit et emendavit Heeg, Die angeblichen Orphischen Ἔργα καὶ Ἡμέραι, Diss. Würzburg 1907, München 1907, 63ss ἐκ τῆς δωδεκατρόπου Ὀρφέως περὶ καταρχῶν.

1. Περὶ τροπικῶν ζωιδίων

τῶν τροπικῶν ζωιδίων ὡροσκοπούντων μὴ ἅψηι ὁδοῦ· χαλεπὴ γὰρ καὶ βραδεῖα καὶ οὐ μετὰ καλοῦ· φίλοι δὲ ἔχθραν ποιήσουσι· πάλιν φίλοι γενήσονται· χρὴ σπείρειν φυτεύειν· θεμέλια μὴ τιθῆις· ἀρραβῶνα δίδου· οἱ ἐννοσοῦντες τοῖς τροπικοῖς ζωιδίοις ἐγερθήσονται ‹ἢ› ἑβδομαδαῖοι διαλυθήσονται τὸ πάθος· εἰ δὲ ἡ τῆς κατακλίσεως ἡμέρα μετέλθηι ἀπὸ τῶν τροπικῶν εἰς τὰ στερεά, θάνατον ἐπάγει· οὐ δεῖ ἐξελθεῖν ἢ στρατεύειν· εἰ φύγοι τις, ἢ σύλησις γένηται· ἕως οὗ ἐν τῶι αὐτῶι ζωιδίωι ἦι Σελήνη, ταχὺ ἀνευρήσεις· εἰ δὲ παρέλθηι τῶν τροπικῶν, καὶ ἀπόλλυται, εἰ μεθ' ἑτέρου εὑρεθήσεται· ἐάν τις ὑπόσχεσις γένηται, οὐ πληροῦται· οἱ ὄνειροι ψευδεῖς· οὐδὲ ἰατρεύει ἰατρός· ὑγρὰ οὐκ ὠφελεῖ· ἢ ἄλλος πληροῖ τὸ ἔργον· οὐδὲ γυναίκαις ἱστοῦ κατάρχεσθαι ὠφελεῖ· ἀποφυγών τις τὴν πατρίδα πάλιν ἐπιστρέφει· βεβαίου γὰρ πράγματος μὴ κατάρχου τοῖς τροπικοῖς ζωιδίοις.

2. Περὶ δισώμων ‹ζωιδίων›

τῶν δισώμων ζωιδίων ὡροσκοπούντων μηδέποτε ἀγοράζηις· δόλον γὰρ

780 de codicis orthographia cf. Heeg 61 ‖ **3** δωδεκατρόπου] ιβ´ τρόπου cod. : in marg. ξβ´ ‖ **4** post ζωιδίων in tit. add. signa astronomica Arietis Cancri Librae Capricorni, in marg. τροπικὰ ζώιδια (ζόδια cod.) ‖ **5-6** τῶν τροπικῶν – καλοῦ] aliter fr. 781a 9-10 q. v. ‖ **5** ἄψη cod. ‖ **6** πιήσοση cod. ‖ **7** σπέρη φιτεύι cod. | τιθῆις] θέτης cod. | ἀραβῶνα cod. | ενοσούντε cod. ‖ **8** ‹ἢ› add. ed. ‖ **9** ἡ δὲ Η τῆς κατακλήσεως ἡμέρα (sign. astronomicum) ‖ **9-10** ἡσταστερέα cod. ‖ **10** δίεξέλθη cod. | στρατεύι cod. ‖ **10-11** ἡ φυγὴ τῆς· ἡσηλήσης γένητε cod. | εἰ φύγοι τις κτλ] cf. fr. 781a 12s ἢν δὲ φύγηι θεράπων κακομήχανος ἐν τροπικοῖσιν, / ἂψ εἰς οἶκον ἄνακτος ἐλεύσεται οὐδ' ὑπαλύξει ‖ **11** ἕος οὗ ἐν αὐτῷ τὸ ζοδίω ἡ Σελήνη (sign. astronomicum) cod. | ταχύαη (ν supra η scr.) ευρέσεις cod. ‖ **12** καπόλητε cod. ‖ **13** οἱ ὄνειροι ψευδεῖς] cf. fr. 781a 7 καὶ χρησμοὶ καὶ ὄνειροι ψεύδοντ' ἐν τροπικοῖσι | οὐ δὲ ἰατρείβε cod. ‖ **14** ἄλος cod. ‖ **14-15** γηνέκαις ἤστου κατάρχεσται ὦ φύλει· ἀπὸ φηγήν τῆς τὴν πατρίδαν cod. ‖ **15** post ἐπιστρέφει lac. ind. Heeg ‖ **17** ‹ζωιδίων› add. Heeg | post δησόμον (sic) in codd. add. signa astronomica Geminorum Virginis Arcitenentis Piscium. in marg. ζόδια δίσωμα ‖ **18** δόλο cod. ‖

ἔχει ἡ πρᾶσις· ἢ νόσος ἢ ἕτερα πρόκειται. οἱ ἐν δισώμοις γενόμενοι γάμοι εἰς μοιχείαν τρέφονται· καὶ πολλαὶ μάχαι καὶ ὀδύναι τρέφονται τοῖς τοιούτοις γάμοις· εἴ τις φυγὼν τοῖς δισώμοις πιασθῆι, καὶ πάλιν φυγὰς γίνεται· εἴ τις ὑπεσχέθη ἵνα δώσηι μισθόν, οὐ δώσει ὅσον εἶπεν· αἱ δὲ χάριτες καὶ αἱ δωρεαὶ καλαὶ ἔσονται. φυτεύειν καὶ ὄρνισιν ἐπιτιθέναι ὠιά. ἡ δὲ κατάκλισις πάλιν πυρετὸν φέρει· καὶ ὑποστραφῆι τὸ νόσημα· ἢ ἐν καλῶι ἢ ἐν κακῶι πείσεις διπλασιάζει. καλὸν καὶ ὁδοῦ κατάρχεσθαι· εἰ δέ τις ἀποθάνηι ἐν δισώμοις, μέλλει καὶ ἄλλος ἀποθανεῖν καὶ ‹εἰ› ἐν δισώμοις τις νοσήσει, νοσήσουσι καὶ ἕτεροι ‹ἐν› τῶι οἴκωι ἐκείνωι· νίκη ἐν δισώμοις, εἶτα δὲ κακὰ *** διπλασιάζονται γάρ. παιδευταῖς καὶ ἰατροῖς μανθάνειν καλὸν ‹εἰς› τὰ δίσωμα.

3. περὶ στερεῶν ζωιδίων

τῶν στερεῶν ζωιδίων ὡροσκοπούντων αἱ κτήσεις καὶ ἀγορασίαι βέβαιοί εἰσιν. ἐν στερεοῖς δεῖ γυναῖκα λαμβάνειν καὶ τὰ πράγματα αὐτῆς, τέχνην καὶ ἔργον, ἄρχεσθαι {οὐ} συμφέρει· πληροῦνται γὰρ αἱ βουλαί. ὁ κλέπτης εὐχερῶς εὑρήσεται· ἀποδημεῖν δὲ βέβαιόν ἐστιν· ὁ δὲ ἐχθρὸς γενόμενος οὐ φιλιοῦται· αἱ δὲ κρίσεις βέβαιοί εἰσιν· ἢ γὰρ θάνατον φέρει ἢ μῆκος νόσου ἢ δι' ἑβδομάδος λυθήσεται ἡ νόσος· δεσμοὶ ἐν στερεοῖς κακοί· ὁ γὰρ ὀργισθεὶς οὐ μεταβάλλεται· ἐάν τις αἰτήσηι χρήματα, οὐ δίδοται αὐτῶι. λόγων καὶ μουσικῆς δεῖ ἄρχεσθαι ἐν τοῖς στερεοῖς· ὁ δὲ δανειζόμενος μόλις ἀποδίδωσι· διδάσκεσθαι δὲ γράμματα καλὸν ‹καὶ› φιλίας ποιεῖν· μεταβάλλει δὲ τὰ τροπικὰ καὶ ποιεῖ μάχας ἐν αὐτοῖς. ὡσαύτως καὶ ἡ Σελήνη τὰ προειρημένα ζώιδια διερχομένη ταῦτα δηλοῖ ἅπερ καὶ ὁ ὡροσκοπῶν ἐσήμανεν.

19 νόσον cod. ‖ **19-20** ἡ ἐν δισόμοις γενομένη γάμη ἧς μιχίαν τρεπονται cod. | πολεμα (χ supra α scriptum) cod. ‖ **20** τρέφονται Heeg : τρέπονται cod. ‖ **22** ὑπεσχέθη Heeg : ἐπεσχέθη cod. | εἶπεν] ὕπεν cod. | χαρήταις cod. ‖ **24** ὑπὸ στραφή το cod. ‖ **24-25** ἡ ἐν καλῷ, ἢ ἐν κακῷ πήσης· cod. ‖ **25** καλοῦ cod. | κὰ τέχεσθαι cod. ‖ **26** μέλι καὶ ἄλος cod. ‖ **26-27** ‹εἰ› et ‹ἐν› add. Heeg ‖ **27** νίκην cod. : an νίκη ἐν δίκαις? Heeg | ἦτα δὲ κακή cod. ‖ **28** post κακὰ lac. ind. Heeg | μανθάνη cod. | εἰς add. Heeg ‖ **30** ζόδια στερεά in marg.; sub titulo signa astronomica Lunae Tauri Leonis Scorpionis Aquarii ‖ **31** κτήσης cod. ‖ **32** εἰσιν] ἠσῆν cod. | δεῖ] δή cod. ‖ **33** οὐ secl. Heeg ‖ **34** ἀποδίμην cod. | ὁ] ἡ cod. ‖ **35** φιλιοῦτε· ἑ cod. | κρέσης βέβεον ἠσύ cod. | ἢ γὰρ θάνατον – νόσου] cf. fr. 781b 3ss ἀρξαμένη δὲ νόσος στερεοῖς κακή· οὐδὲ γὰρ ὦκα / παύεται, ἀλλὰ μένει τε νόσος καὶ πολλάκις ἄνδρας / ὤλεσεν | νόσου] an νόσος? Heeg ‖ **36** δεσμὸν cod. | στερεὸν κακή cod. | ὀργηστή cod. ‖ **37** μεταβάλεται cod. | αὐτῶν. λόγον cod. ‖ **39** γράματα cod. | καὶ add. Heeg | μεταβα΄ (λ supra α scriptum) cod. ‖ **40** ποιεῖ] πιή cod. | ὁσαύτος cod. | προήρημένα cod. ‖ **41** διληάπερ cod.

781 V (p. 295 K.)

a Schol. Tzetz. Alleg. Hom. Il. ap. Cramer, Anecd. III, 382, 7 et Anecd. Gr. II, 613, 8 Matranga, cf. et. adn. v. d. Boissonade ad Tzetz. loc. p. 122; Ludwich fr. Ammonis, post Maxim. Περὶ καταρχῶν, Leipzig 1877, 53s

ἐν τροπικοῖς οὔτ' ἄρ γαμέειν καλὸν οὔτε γάμοιο
μνηστείην ἐρατὴν τελέειν, οὐ κτήσιος ὠνήν·
μηδὲ δαημοσύνην τέχνης τινὸς ἄρχεο τῆμος.
εἰ δὲ καὶ ἄλλο τι πρᾶγμα θέλεις μίμνειν ἐπὶ δηρόν,
μὴ σύγε τοῦτ' ἔρξῃς τροπικοῖς Μήνης ἐνεούσης·
πάντα γὰρ ἐν τροπικοῖσι παλίντροπα ἐκτελέθουσι,
καὶ χρησμοὶ καὶ ὄνειροι ψεύδοντ' ἐν τροπικοῖσι.
ῥηϊδίως ‹δ'› ὁ λαβών ‹τι› καὶ ἀσπασίως ἀποτείσει.
πλώειν δ' εἰς ξείνην καὶ ὁδεύειν ἣν ἐθέλῃσθα,
ἐν τροπικοῖς κέλομαι· νόστος δέ τοι ἔσσεται ὠκύς,
καὶ εἰς οἶκον ἴθι τῆμος ξείνης ἀπὸ γαίης.

781 'multa cum Orphicis conspirant' Kern, cf. et. Heeg, Die angeblichen Orphischen Ἔργα καὶ Ἡμέραι, München 1907, 63ss, qui loc. sim. notavit | vid. Tzetz. Alleg. Il. H 117 (122 Boissonade) ἐν τροπικοῖς οἱ Ἕλληνες ἦσαν πυργοποιοῦντες ... 125 ὅτι δ' εἰσὶν εὐέμπτωτα τὰ τροπικοῖς πραχθέντα / πᾶς ἀστρολόγος ἐκβοᾶι, καὶ Καταρχαῖς ὁ Ἄμμων, M 4ss (157 Boiss.) ἐκτίσθη παρὰ γνώμην γὰρ θεῶν τῶν ἀθανάτων, / εἰς κάκιστον θεμάτιον ἐν τροπικοῖς, ὡς εἶπον (sc. H 117)· / διὸ καὶ οὐ μακρόχρονον ἔμελλε πεφυκέναι, Exeg. Il. 54, 1 Hermann ἔτι δὲ οἱ μαθηματικοὶ Ἄμμων κτλ | sigla codicum Ludwichiana servamus: codd. **A** (Parisinus 2644: **A**[b] teste v. d. Boissonade, **A**[c] teste Cramero), **B** (cod. Bodleianus ap. Cramerum), **C** (cod. Matrangae = Vat. 904?); **D** (Tzetz. Ex. Il. p. 33, 7 Hermann, de quo cf. et. Nauck, Mél. Gréco-Rom. IV 1, p. 167s) || **a** ap. Anecd. Cramer versus praecedit ἐν τροπικοῖς καταρχῶν ('lemma fortasse poematis unde sequentia sunt deprompta' Boissonade) : ap. Anecd. Matrang. praecedit ἐκ τῶν Ἄμμωνος καταρχῶν || **1** ἄρ Nauck : αὖ **ABC** || **2** μνησθείην **AB** : ὥραν μνησθείην Boissonade | ἐρατεινὴν **AB** | οὐκ ἐτήσιος Matranga | ὠνήν] ἣν **A**[c] || **3** μηδὲ Nauck : μήτε **ABC** || **3-5** cf. fr. 780, 3 (περὶ στερεῶν ζωιδίων) ἢ γὰρ θάνατον φέρει ἢ μῆκος νόσου || **4** ἄλλό τι **A**[c]**BC** | πρῆγμα Nauck | ἐπιδηρὸν **A**[c] || **5** ἔρξῃς Nauck : ἔρξεις **AC** : ἕξεις **B** || **6** παλίντροπα ἐκτελέθουσι Nauck : παλίντονα ἐκτελέουσι **ABC** || **7** ψεύδοντ' susp. Nauck | cf. fr. 780 1 (περὶ τροπικῶν ζωιδίων) οἱ ὄνειροι ψευδεῖς || **8** δ' et τι add. Nauck | ἀποτείσει Kern : ἀποτίσει **ABC** : ἀποδώσει Nauck || **9** πλώειν δ' εἰς ξείνην Ludwich : εἰ δὲ ξένην πλώην **A** : εἰ δὲ ξένην πλοίην **B** : εἰ δὲ ξένην πλώειν **C** : εἰ δὲ ξείνην (vel ξείνῃ) πλεῖν Boissonade : εἰς ξείνην δὲ πλέειν Nauck | ὁδευέμεν Nauck | ἣν ἐθέλῃσθα Nauck : ἣν ἐθέλησθα **ABC** : γῆν ἐθέλησθα Boissonade | cf. aliter fr. 780, 1 τῶν τροπικῶν ζωιδίων ὡροσκοπούντων μὴ ἄψηι ὁδοῦ· χαλεπὴ γὰρ καὶ βραδεῖα καὶ οὐ μετὰ καλοῦ || **10** νόστος Duebner (cf. b 2) : νοῦσος **ABC** | δέ σοι **C** || **11** καὶ]

ἢν δὲ φύγηι θεράπων κακομήχανος ἐν τροπικοῖσιν,
ἄψ εἰς οἶκον ἄνακτος ἐλεύσεται οὐδ' ὑπαλύξει.
κλέψας δ' ἐν τροπικοῖσιν ἁλίσκεται οὐδέ τε λήσει.

b Tzetz. Ex. Il. p. 33, 6 Hermann (cf. et. Ludwich fr. Ammonis, post Maxim. Περὶ καταρχῶν, Leipzig 1877, 54) ὁ μαθηματικός φησιν Ἄμμων ἐν ταῖς ἑαυτοῦ καταρχαῖς·

ἐν στερεοῖς ζώιοις ξείνην εἰς γαῖαν ἐπειχθεὶς
δηρὸν ἐκεῖ μενέεις, καί τοι νόστος βραδύς ἐστιν.
ἀρξαμένη δὲ νόσος στερεοῖς κακή· οὐδὲ γὰρ ὦκα
παύεται, ἀλλὰ μένει τε νόσος καὶ πολλάκις ἄνδρας
ὤλεσεν, εἰ μή τις Μήνην θεὸς εἴσιδεν ἐσθλός.

sequitur fr. 774.

Ἀστρονομία (fr. 782)

nihil de hoc carmine novimus praeter Sudae testimonium, cf. Heeg, Die angeblichen Orphischen Ἔργα καὶ Ἡμέραι, München 1907, 48; Tannery, Rev. Phil. 21, 1897, 190; 24, 1900, 54; Vári, Egyetemes Philologiai Közlöny, 1900, 174s; Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1400 | cf. Ioann. Malal. Chronograph. 13, 36 (265 Thurn, fr. 722) Θέων ὁ σοφώτατος φιλόσοφος ἐδίδασκε καὶ ἡρμήνευε τὰ ἀστρονομικὰ καὶ τὰ Ἑρμοῦ τοῦ Τρισμεγίστου συγγράμματα καὶ τὰ Ὀρφέως

782 T (p. 296 K.)

Suda s. v. Ὀρφεύς (III 565, 9 Adler), plura invenies in fr. 1018 IV Ἀστρονομίαν (sc. ἔγραψε).

ἢν Nauck | ἴθη **B** : ἴῃς Nauck | ξένης **AB** || **12** ἢν A^b || **12-13** cf. fr. 780 εἰ φύγοι τις, ἢ σύλησις γένηται || **13** ἂψ **C** || **14** κλέψας] κλέκτες **A**, 'sic, ut videtur a pr. m.: deinde κλέψης vel κλέψτις, litura enim magna in quinta littera' Cramer | ἀλώσεται Nauck | οὐ δέ **C** || **b** 'loquitur Ammon de solidis signis, στερεοῖς quae sunt τροπικοῖς contraria' Boissonade || **2** βραδὺς ἔσται Nauck || **4** μένει τε νόσος susp. Nauck || **5** Μήνην Nauck : μῆνιν **D**

782 fort. Ἀστρονομικά Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1400

fragmentum de alchimia (fr. 783)

'hoc ... fragmentum non ad Orphei vaticinia [de quibus cf. frr. 804ss] sed ad artes magicas [de quibus cf. frr. 812ss] pertinere per se patet' Kern p. 333 | 'a late alchemical poem in iambics, perhaps 5th-6th century' West, Orphic Poems 268, cf. 37 | cf. et. Zosim. Alch. Gr. II, 1888, 210 Berthelot-Ruelle (fr. 857) τοῦτό ἐστι τὸ Ὀρφαϊκὸν ὁμοούσιον κτλ

783 F (333 K.)

ἐπεὶ {μὲν} δοκεῖς ‹ἔμ'› εὖ σθένειν διζήσεσιν,
ζάκορε, λίταζε πρὸς τροφοῦ {ἰδίου} χρυσοῦ σθένος,
δέλτοισι δ' ἐγχάρασσε τοὺς ἐμοὺς λόγους.

783 (I) Agathodaemon Alchemista εἰς τὸν χρησμὸν Ὀρφέως συναγωγὴ καὶ ὑπόμνημα (Alch. Gr. II, 1888, 268s Berthelot-Ruelle) Ἀγαθοδαίμων Ὀσίριδι χαίρειν. ἤδη σοι τοῦτο τέταρτον βιβλίον γράφω ἐκ τοῦ ἀρχαίου χρησμοῦ· ... ὁ γοῦν Ὀρφεὺς ἣν ποιήσων τὴν λεύκωσιν· οἶδε (Ruelle : ἴδε A) πάντα τὰ παρ' ἑαυτῶι ἑτοίματα (ἑτοιμᾶτο Ruelle : 'an ἕτοιμα τά?' Kern) ὀργάνωι ὕδατα καὶ κηροτακίδα, καὶ τὰ μέρη τῆς ξανθώσεως πάσης, λέγω δὴ ὕδατος θείου ἀθίκτου, καὶ τὰ ἄλλα ἕτοιμα· καὶ μόνον μίξει ζητεῖ τοῦ ὑστέρου σκωριδίου. ὅπερ οὖν ἐζήτει, τοῦτο ὁ χρησμὸς ἔδωκεν. ἐνδεὴς (Ruelle : ἐν δὲ εἶς A : ἐνδεῆ Berthelot) οὖν ὁ χρησμὸς τῶν μετὰ τῶν σοφῶν πρὸς συμπλήρωσιν ἀπεπλήρωσαν (-σεν Berthelot) αὐτοῦ τὰ λείποντα (Ruelle: λοίποντα A): Ἀρσενοεῖται (Kern, mon. Riess, Alchemie, RE I 1 [1893] 1351 : ἀρσενοεῖτε A : ἀρσενοῦται Ruelle) εἰς τὸν ξανθόν, καὶ ἄλλοι ἄλλως (Ruelle : ἄλλας A): τῆς μέντοι λευκώσεως οὐδεὶς κατηξίωσεν μνημονεύσας (-νεῦσαι Berthelot), εἰ μὴ ἐγώ· ἣν καὶ ἔγραψα πολλαχῶς, καὶ πάλιν γράφω, ἀρχόμενος πάλιν ἀπὸ τοῦ χρησμοῦ κατ' ἐπερώτησιν· ἔχει δὲ ὧδε· [1-3] χαλκὸν κεκαυμένον, τούτου καὶ σφόδρα λίαν πλυνθέντος καὶ ἀνακαυθέντος, καὶ πάλιν ἔστω, κάθες καλλίστωι ἀργύρωι ψῆγμα, μύριν ἑκάστην πρὸς δύνην, καὶ δ^ον, καὶ γῆ Σινώπης, καὶ ὄστρακον κάθμις (καθμίας Ruelle), καὶ χρυσὸν τῶν Μακεδώνων (sic) γαίης (versum indicari iure animadvertit Ruelle), καὶ μύσεως λέγω σοι ἀσιατικοῦ· ξυνειχώνεις· καὶ ἀσπάσω τὸν χρυσόν. καὶ οὕτως μὲν ὁ ἀρχαιότατος χρησμός· κατένεγκαι (Ruelle : κατένεγγε A) προσέχων βίβλον ἐδαφιστικὴν μεγάλην. καὶ ἡ βίβλος ὑπομνήματα παραδίδωσιν (Ruelle : παράδωσιν A) ἀζούσης (i. e. 'venerantis' Ruelle : ἀζώσις A) φωνῆς, καὶ ἡ παράδοσις δείξει (Ruelle : δείξιν A)·

783 1 ἐπεὶ Ruelle : ἐπὶ A | μὲν secl. Ruelle | δοκεῖς Ruelle : δοκὲς A | ἔμ' add. Diels ap. Kern | εὖ σθένειν Diels ib. : εὐσθένεσιν Ruelle : ἐν σθένεσιν cod. | διζήσεσιν Diels ib. : δεήσεσιν A | cf. Coxon, comm. ad Parmen. fr. 3, 2 ὁδοὶ ... διζήσιος || **2** ζάκορε, λίταζε Diels ib. : ζακορέ, λιτάζη A | ἰδίου del. Diels ib. || **3** δέλτοισι δ' Diels ib. : δέλτησιν A | ἐγχάρασσε Berthelot : ἐγχείρωσε A

fragmenta de herbis et de medicina Orpheo addicta (frr. 784-799)

in editione Kerniana Orphei carmini περὶ φυτῶν βοτανῶν ‹ἰατρικῆς› tribuuntur testimonia et fragmenta varia ab auctoribus recentioris aetatis laudata | quorum tria genera distingui possunt:

1) fragmenta de herbis: Const. Lasc. carmen περὶ ζώων φυτῶν βοτανῶν χωρογραφίας ἰατρικῆς νόμων intitulatum Orpheo tribuit (fr. 784) | et. Plin. novit carmen Orphicum de herbis (frr. 785-787), fort. idem atque illud ab Alex. Trall. laudatum (fr. 788) | ap. Orph. Arg. enumerantur herbae, ut videtur e carmine de herbis Orpheo tributo sumptae (fr. 789) | denique exstant fragmenta duo ab Aëtio laudata quae re vera Thessali Tralliani sunt: ergo coniectandum est Aëtii tempore Thessali tractatum sub Orphei nomine vulgo latum esse (frr. 790-791)

2) fragmenta de medicamentis ex animalibus petitis, a Plin. memorata quae ut communis fert opinio e carmine 'Ἰδιοφυῆ intitulato proveniunt, in quibus Orpheus una cum Archelao (de quo cf. fr. 792) laudatur (frr. 792-794)

3) fragmenta varia de medicina: a) fr. carminis Orphici de medicamentis letalibus a Galeno laudati (fr. 796), quod idem atque σωτηρία esse putavit Giseke, Rh. Mus. 8, 1853, 119, monente Fabricio, quibus non adstipulor (cf. de hoc carmine fr. 839) | b) fr. a Proclo commemoratum (fr. 797) | c) fr. a Polluce traditum (fr. 798) | d) fr. a Fulgentio laudatum (fr. 799)

incertum utrum omnia fragmenta ex eodem carmine proveniant necne et valde incerta aetas Orphei carminis (vel carminum) de herbis vel de medicamentis compositi, quamquam Romanam aetatem in. redolent

malui edere una cum fragmentis magicis Apul. Apol. 30 (fr. 820), Plin. Nat. hist. 30, 7 (fr. 817) et Schol. Tzetz. Alleg. Hom. Il. ap. Cramerum, Ane-

καὶ δείξει ἡ ἐμπειρία εὐθεῖαν εὐεργεσίαν ἐν ἐπιβολῆι (καὶ – ἐπιβολῆι **Ruelle** : καὶ ἡ δείξῃς ἐμπειρίαν εὐθύαν εὐεργεσίαν ἐνεπιβολήν **A**) εἴδησιν μυστικήν, διὰ τοὺς φθόνους, καιρὸν καὶ καιρούς, καὶ σύμπαντα τὰ τῆς τέχνης. τὸ γοῦν πρῶτον ἔπος (**Ruelle** : ἔτος **A**) τοῦ χρησμοῦ, τὴν τοῦ χαλκοῦ λεύκωσιν τοῦ κατασταθέντος καὶ λειωθέντος καὶ φρυχθέντος μεταβάλλει (**Ruelle** : τῶν κατασταθέντων καὶ λειωθέντων καὶ φρυχθέντα ἕως μεταβάλῃι **A**) εἰς τὸν κηρόν· σύγκειται δὲ ὀστοῦν χαλκὸν ἐκ τῶν δ΄ σωμάτων, χαλκοῦ, σιδήρου, κασσιτέρου, μολύβδου, καὶ τῶν οὐσιαστικῶν μετάλλων, καὶ θείου λευκοῦ· τάδε χρήιζουσιν μὲν προταριχείας ἀπὸ μηνὸς Μεχὶρ ἕως μηνὸς Φαρμουθὶ ιε΄ ἡμέραι μα΄, εἶτα πλύσεως, ζέσεως, γλυκασμοῦ, ὑλισμοῦ, συσταθμίας, καθάρσεως. καθαίροντα δὲ τὰ δ΄ σώματα ἕως ἔχῃς πανταχοῦ, εἶτα μίγνυται σταθμῶι. ἔστι δὲ ἡ σταθμία· ἐκ χαλκοῦ λίτραι δ΄, σιδήρου λίτραι α΄, κασσιτέρου λίτραι β΄ς, μολύβδου λίτραι β΄ς, ἀπὸ (**Ruelle** : ὁ **A**) μὲν τοῦ χαλκοῦ, λάμβανε ἀργύρου λίτραν α΄. ἔστι αὐτοῦ κάτοχος ('cetera ad Orphei quod dicitur oraculum pertinere non videntur' recte Kern) || (II) Schol. ad vers. laud. προσέχειν τὸ δοκεῖν καλὴν δύναμιν ζητημάτων λίαν πρέπει θάλψιν, ὅπως (**Diels ap. Kern** : τοὺς schol.) εἰδῇς δύναμιν τῆς βίβλου κρατεῖν

cd. III, 379, 11 (fr. 826), quae Kern p. 327 edidit, quamquam fines certos magiae et medicinae in carminibus Orpheo tributis constituere difficillimum sit (ex. gr. valde dubium est utrum fr. 788 e medicinae carmine an ex opere magico fluxerit) | de re cf. Chadwick, Poetry and Prophecy, Cambridge 1942; Bickel, Rh. Mus. 94, 1951, 257ss; Graf in: Bremmer (ed.), Interpretations of Greek Mythology, London-Sydney 1987, 99

de his fragmentis cf. Lob. 748ss; Puschmann ad Alex. Trall. περὶ πυρετ. 1, 15 (fr. 788); Heeg, Festgabe Schanz, Würzburg 1912, 159; Dieterich, Kl. Schr. 6: Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1416; eund., Paradoxographoi 4. 'Orpheus', RE XVIII 3 (1949) 1142; Giannini, Acme 17, 1964, 133; eund., Paradoxographorum Graecorum reliquiae, Milano 1967, 384s; Friedrich, Thessalos von Tralles, Meisenheim am Glan 1968, 35s; Brisson, ANRW II 36.4, Berlin-New York 1990, 2920; Gómez Espelosín, Paradoxógrafos griegos, Madrid 1996, 339s

testimonia et fragmenta Orphei carminis vel carminum de herbis (frr. 784-791)

784 T (T 225 p. 326 K., p. 384 adn. 1 Giannini)

Const. Lascaris Προλεγόμενα τοῦ σοφοῦ Ὀρφέως 77 (35 Martínez Manzano), plura invenies in fr. 1018 VI κατέλιπε (sc. Ὀρφεύς) ... περὶ ζώων φυτῶν βοτανῶν χωρογραφίας ἰατρικῆς νόμων κτλ.

785 T (319 K., F 1 G.)

Plin. Nat. hist. 25, 12 primus autem omnium, quos memoria novit, Orpheus de herbis curiosius aliqua prodidit. *sequitur fr. 786.*

784 de hoc Lascaris opere cf. Martínez Manzano, Konstantinos Laskaris, Humanist, Philologe, Lehrer, Kopist, Hamburg 1994, 33ss | 'fort. titulus (sc. Ἰδιοφυῆ) alterius totius operis partis' Giannini

785 cf. Lob. 750; Heeg, Festgabe Schanz, Würzburg 1912, 160 adn. 1; André ad loc.

786 F (319 K.)

PLIN. Nat. hist. 25, 12, pergit fr. 785 post eum Musaeus (*fr. 93 II*) et Hesiodus (*fr. 349 M.-W.*) polium herbam in quantum mirati sint diximus. Orpheus et Hesiodus suffitiones commendavere.

787 F (320 K., F 2 G.)

PLIN. Nat. hist. 20, 32 Orpheus amatorium inesse staphylino dixit, fortassis quoniam venerem stimulari hoc cibo certum est.

788 F (324 K.)

ALEX. TRALL. περὶ πυρετ. 1, 15 (I 565 Puschmann) ἐκ τῶν παρακειμένων ἐν τοῖς Στράτωνος, λέγει δ' Ὀρφέως εἶναι. στρύχνου ῥίζαν ἀνελόμενος φθινούσης σελήνης κόψον καὶ δίδου πιεῖν ἐξ αὐτῆς, τὴν μὲν πρώτην ἡμέραν μίαν δόσιν, εἶτα β', εἶτα γ', εἶτα δ', καὶ οὕτως ἐφεξῆς, μέχρις ἂν πεντεκαίδεκα ἀναλώσῃς δόσεις. μυστηριῶδές δέ ἐστι καὶ ὑπὸ πολλῶν θαυμάζεται.

786 1 eo **H** : ea **a** || **2** polium] *idem atque* τριπόλιον *(cf. Theophrast. Hist. Plant. 9, 19, Plin. Nat. hist. 21, 44, Diosc. 4, 132, 2); ut videtur Limonium vulgare, Miller; cf. Fournier, Bull. Soc. Bot. Fr. 96, 1949, 189, et André ad loc.* | πόλιον *laudatur et. in Orph. Arg. 919 (fr. 789)* | herbaru. **N** : herba **Ea** | sint **g** : sunt *cett.* || **3** suffustines **Vd** : ... fitione **N** | *'suffitiones non iam ad polium referendae videntur' Merk. et West ad Hes. fr.*

787 *cf. Lob. 751; Heeg, Festgabe Schanz, Würzburg 1912, 161 adn. 2; Martín Hernández,* MHNH *3, 2003, 66* || **1** staphilino **pdTQ** : stafilino **E** | *de staphylino (lat. pastinaca, hodie Daucus carota, L., subsp. sativus Arcangeli) venerem stimulante cf. et. Diosc. 3, 52, 2; Marcell. Med. 33, 50; Garg. Mart. 171, 16; Ps.-Th. Prisc. Simpl. med. 45 et André ad loc., cf. et. Andrews, Class. Phil. 44, 1949, 182ss; Fortes, Los fitónimos griegos, Diss. ined. Barcelona 1980, s.v. et p. 707* | fortasse **Q**

788 cf. Lob. 748; Heeg, Festgabe Schanz, Würzburg 1912, 161 adn. 6 || **2** τοῖς] τῶν **Mf** : τοῦ 2203 **M** | στρύχνου] plurimae herbae sic nominantur: Physalis alkekengi (Diosc. 4, 71, Plin. Nat. hist. 21, 177); Solanum nigrum (Diosc. 4, 70; Theophrast. Hist. Plant. 7, 15, 4); Datura stramonium (Diosc. 4, 73); Withania somnifera (Theophrast. Hist. Plant. 9, 11, 5, Diosc. 4, 72) || **3** τῆι ... πρώτηι ἡμέραι **Mf** || **4** εἶτα – εἶτα] τῆι δευτέραι ... τῆι τρίτηι ... τῆι τετάρτηι **Mf** | ante μέχρις habent περὶ τὰς διπλασίους 2203 **L M Mf** et vers. lat.

789 V

Orph. Arg. 914-923

ἐν δὲ πόαι ῥίζηισι κατηρεφέες χθαμαλῆισιν,
ἀσφόδελος, κλύμενός τε καὶ εὐειδὴς ἀδίαντος,
καὶ θρύον ἠδὲ κύπειρον, ἀριστερεών τ' ἀμενηνά,
ὅρμινόν τε καὶ εἰρύσιμον, κυκλαμίς τ' ἰοειδής,
στοιχὰς παιονίη τε καὶ εὐερνὲς πολύκνημον,
μανδραγόρης πόλιόν τ', ἐπὶ δὲ ψαφαρὸν δίκταμνον
εὔοδμός τε κρόκος ἰδὲ κάρδαμον, ἐν δ' ἄρα κῆμος,
σμῖλαξ ἠδὲ χαμαίμηλον μήκων τε μέλαινα,
ἄλκυα καὶ πάνακες καὶ κάλπασον ἠδ' ἀκόνιτον
ἄλλα τε δηλήεντα κατὰ χθόνα πολλὰ πέφυκε.

790 F (325 K., F 3 G.)

Aët. Libr. medic. 1, 175 (I 80, 10 Olivieri) Ὀρφεὺς δέ φησιν ὅτι ὁ χυλὸς αὐτῆς (sc. τῆς καλαμίνθης) σὺν ἴσωι ῥοδίνωι μετὰ ψιμυθίου λειωθείς, ὡς γλοιοῦ ἔχειν πάχος, καὶ ἐπιχριόμενος τὰ πυρίκαυτα θεραπεύει. τὸ δὲ παράδοξον, ὅτι οὐδὲ οὐλὴ φαίνεται καὶ τριχοφυεῖ ὁ τόπος. σὺν κιμωλίαι δὲ καὶ ἀλόηι ἴσως λειώσας τὸν χυλὸν καὶ ἐπιχρίσας μέτωπον καὶ κροτάφους παύσεις παραχρῆμα κεφαλῆς ὀδύνας.

789 'la liste est tirée sans doute d'un traité (orphique?) d'herboristerie' Vian, comm. ad loc. 185, ubi multa de his versibus inveniuntur : iniuria dubitat num Orphicum sit Sánchez Ortiz de Landaluce, Estudios sobre las Argonáuticas órficas, Amsterdam 1996, 273 || **914** ῥίζαισι **A** | κατηρεφέος **KF** || **915** εὐδὴς **F** : εὐώδης **Mosch.** || **916** ἀριστερεῶν **K** : -έων **Ψ** | τε μενηνά **K** : τ' ἀνεμώνη Hermann || **917** ὅρμινόν Eschenbach : ὅρμιόν **Ω** | κυκλαμές **θF** : κύκλαμίς **ζ** | τ' ἰοειδής Hermann : τε θεοειδής (-δές **M** p.c. **O**) **Ω** : τε θεουδής **ζ** : τε θυώδης Wiel || **918** καὶ εὐερνὲς πολύκνημον Vian : κατερνές (-νίς **V**) τε πολύκνημον (-κλημον **K**) **Ω** : πολύκνημόν τε κάτερνες (sic) Hermann || **919** πολιόν **K^{sl}AOEF** : πολίον **NMVH** : πολιήν **K** a. c. | cf. fr. 786 | δίκταμνον Schneider : δίκταμον **Ω** | ψαφαρὸν δίκταμνον om. **H** || **920** εὔοσμός **NV** | ἰδὲ] καὶ Hermann || **922** ἀλκέα καὶ Eschenbach : ἀλκείη Hermann | κάρπασον **U^2** mg. : κάπασον **ζ** || **923** πέφυκε Sitzler : πεφύκει **Ω** | cf. Orph. Arg. 960-962 et Vian, comm. ad loc.

790 **1** ὁ δ' Ὀρφεὺς **DP** || **2** λειωθ. μετὰ ψιμ. transp. **DP** | ψιμυθίου Abel : ψιμμυθίου cod. || **3** σχεῖν **χ** : ἔχει Abel | καὶ om. **Gχ** | πυρίκαυστα **ψχA^t** || **3-4** fort. παράδοξόν ἐστιν Wellmann || **4** δὲ om. **$P^x A^t$** || **5** ἀλόην **χ** | ἴση **DP** : ἴσοις **Gχ$M^o A^t$** || **6** παραυτίκα **DP** | usque ad θεραπεύει (3) tantum Orpheo trib. Abel, fort. recte | simillima trad. Cat. Cod. Astr. VIII, 3, 144, 19ss, quod Harpocrat. olim tribuerunt, deinde Thessalo Trall., cf. 1, 6, 2 p. 116 Friedrich δυνάμεις ἔχουσα λίαν θαυμάζεσθαι δυναμένας. σκευάζεται δὲ φάρμακον τοιοῦτον· λαβὼν ψιμυθίου ὅσον θέλεις,

791 F (326 K.)

AËT. Libr. medic. 1, 139 (I 70, 7 Olivieri) Ὀρφεὺς δέ φησι· ʽδίδου τοῖς αἱμοπτοϊκοῖς τοῦ χυλοῦ τῆς ἐλελισφάκου κυάθους δύο μετὰ μέλιτος Γο α̅ νήστεις πιεῖν καὶ εὐθέως σταθήσεται. τοῖς δὲ φθισικοῖς', φησί, ʽσκεύαζε καταπότια οὕτως· ναρδοστάχυος δρ. β̅ ζιγγιβέρεως δρ. β̅ σπέρματος ἐλελισφάκου πεφρυγμένου κεκομμένου καὶ σεσεισμένου δρ. ι̅δ̅ πεπέρεως μακροῦ δρ. ι̅β̅ ἀναλάμβανε τῶι χυλῶι καὶ ποίει καταπότια καὶ δίδου δρ. α̅ πρωὶ νήστει καὶ εἰς κοίτην ὁμοίως καὶ ἐπιρροφείτω ὕδατος καθαροῦ.'

Ἰδιοφυῆ (frr. 792- 794)

cf. Giannini, Acme 17, 1964, 133, qui de carminis aetate et argumento disseruit

εἶτα ῥοδίνου, καὶ τῶι χυλῶι τῆς βοτάνης ἀναλαμβάνων, ὡς γενέσθαι γλοιοῦ πάχος, ἐπίχριε τὰ πυρίκαυστα καὶ θεραπεύει· τὸ δὲ παράδοξόν ἐστι τοιοῦτον· ὅτι οὐλὴ οὐ φαίνεται καὶ τριχοφυεῖ· ἀπαλλάσσει δὲ ἐν τάχει καὶ τὰ ἐρυσιπέλατα. κἂν ‹τὸν χυλὸν› (add. Friedrich) ἴσον ἴσωι μίξῃς μετὰ ῥοδίνου καὶ συγχρίσῃς πυρέσσοντας, ἀπαλλάξεις τοῦ πάθους. ἐὰν δὲ Κιμωλίας καὶ ἀλόης ‹καὶ τοῦ χυλοῦ› (add. Friedrich) ἴσα ἴσοις ἀναλαβὼν ποιήσῃς γλοιοῦ πάχος καὶ κεφαλαλγοῦντας τὸ μέτωπον καὶ τοὺς κροτάφους χρίσῃς, παύσεις παραχρῆμα τὴν ὀδύνην (vid. et. vers. lat. in ed. v. d. Friedrich) | cf. et. Lob. 748; Heeg, Festgabe Schanz, Würzburg 1912, 162; Wellmann, Sitzungsberichte der Preuss. Akad. d. Wiss., phil.-hist. Klasse 39, 1911, 838; 'aus diesen Übereinstimmungen (sc. frr. 790s) darf der Schluss gezogen werden, dass eine spätere Ausgabe der vorliegenden Schrift unter dem Namen des Orpheus in Umlauf gewesen ist, als der Arzt Thessalos in Vergessenheit geraten war' recte Friedrich 36; vid. et. Martín Hernández, MHNH 3, 2003, 71

791 2 αἱμοπτυικοῖς Wellmann | κυάθους] δραχμὰς χ, κοκκία **M°ω** | δύο] τρεῖς Thessal. || **3** νήστει Wellmann | φησί om. **DP** | κατασκεύαζε **χω** || **4** δρ. β̅[1] om. **ψ** | ζιγγιβέρεως] σμύρνης **Gχ** | ante δρ.[2] ἀνὰ add. **ψ** || **5** πεφοσμένου **χ** : πεφωσμενου **ω** | καὶ κεκομμένου **GDM°** Wellmann : om. **L[a]QPH** || **5-6** μακροῦ om. **Gχω** || **6** καὶ ποίει om. **φAL[b]ψ** || **7** καὶ νήστει **χA[t]U** | ἐπιπροχείτω Abel || simillima trad. Cat. Cod. Astr. VIII, 3, 140, 2ss, quod Harpocrat. olim tribuerunt, deinde Thessalo Trall., cf. 1, 1, 3 p. 68 Friedrich πρὸς μὲν οὖν αἵματος ἀναγωγὴν εἰς τρεῖς κυάθους χυλοῦ βάλλεται μέλιτος Ἀττικοῦ οὐγγία α΄ καὶ νήστῃ δίδοται πιεῖν καὶ εὐθέως ἴαται ἡ ἀναφορὰ τοῦ αἵματος. τοῖς δὲ φθισικοῖς σκευάζεται καταπότια οὕτως· κρόκου κωρυκίου δρ. ε΄, ζιγγιβέρεως δρ. δ΄, στάχυος δρ. θ΄, τοῦ σπέρματος τοῦ ἐλελισφάκου πεφρυγμένου καὶ σεσησμένου δρ. ιδ΄, πεπέρεως δρ. β΄. ἀναλάμβανε τῶι χυλῶι καὶ ποίει καταπότια ἡμιδραγμιαῖα καὶ δίδου νήστῃ πρωὶ καὶ εἰς κοίτην. καταπιὼν δὲ ἐπιρροφείτω ὕδατος καθαροῦ κυάθους β΄. (vid. et. vers. lat. in ed. Friedrichiana) | cf. et. Lob. 748; Heeg, Festgabe Schanz, Würzburg 1912, 162; Wellmann, Sitzungsb. der Preuss. Akad. d. Wiss., phil.-hist. Klasse 39, 1911, 838 | vid. ad fr. 790

792 T (321 K., T 1 G.)

Plin. Nat. hist. in indice libri 28 (de medicinis ex animalibus) (ex auctoribus) ... Orpheo qui Ἰδιοφυῆ scripsit, Archelao qui item.

793 F (328 K., F 4 G.)

Plin. Nat. hist. 28, 43 sanguine ipsius hominis ex quacumque parte emisso efficacissime anginam inlini tradunt Orpheus et Archelaus, item ora comitiali morbo conlapsorum, exurgere enim protinus.

794 F (329 K., F 5 G.)

Plin. Nat. hist. 28, 34 sic et sagittas corpori eductas, si terram non attigerint, subiectas cubantibus amatorium esse Orpheus et Archelaus scribunt, quin et comitialem morbum sanari cibo e carne ferae occisae eodem ferro, quo homo interfectus sit.

792 *cf. Lob. 748; Heeg, Festgabe Schanz, Würzburg 1912, 161 adn. 3* ‖ **2** *Orpheus ut auctor laudatus et. in indice librorum 20-27, 29* | Ἰδιοφυῆ *edd.* : Diophios (Diu- **FE**) *codd.* ‖ cf. Page, Further Greek Epigrams, Cambridge 1981, 20s; 84 | de Archelao cf. Diog. Laert. 2, 17 γεγόνασι δὲ καὶ ἄλλοι τρεῖς Ἀρχέλαοι· ... ὁ τὰ Ἰδιοφυῆ ποιήσας κτλ, Athen. 9, 409c, Schol. Nic. Ther. 823, Artem. 4, 22, cf. et. Reitzenstein, Archelaos 34, RE II 1 (1895) 453s; Ziegler, Paradoxographoi 3. Archelaos der Ägypter, RE XVIII 3 (1949) 1142; Giannini, Acme 17, 1964, 111s; eund., Paradoxographorum Graecorum reliquiae, Milano 1967, 24ss; Page, l. laud.; André ad Plin. Nat. hist. 28, 34 p. 129 adn. 2; Gómez Espelosín, Paradoxógrafos griegos, Madrid 1996, 55ss | aliud opus Ἰδιοφυῆ intitulatum Ptolemaeo Aegypti regi tribuitur, cf. Page 84s

793 *cf. Lob. 750; Archel. fr. 13 Giannini; Martín Hernández,* MHNH *3, 2003, 66* ‖ **1** sanguinis **VR** ‖ **2** anguinam **V¹R¹** | ara **R** ‖ **2-3** item – protinus] *fort. idem est atque fr. 794* quin – interfectus sit ‖ **3** morbo] malo **VR** | conlapsorum *Mayhoff*: cum lapsorum **dV** : lapsorum *cett.* | exurgueri **VR d¹** : exurgui **d²** ‖ *'haud facile credideris excursum in nescioquo animali describendo' Giannini*

794 *cf. Lob. 750; Archel. fr. 14 Giannini; Martín Hernández,* MHNH *3, 2003, 66* ‖ **1** corpore **E** : corpora **r** | ductas **E** ‖ **2** quin – **4** interfectus sit] *cf. adn. ad fr. 793 et Plin. Iun. 98, 3 dantur carnes edendae bestiae occisae eo ferramento quo homo ante occisus est, Scrib. Larg. 13* ‖ **3** comitiale **E** : comitiales (commi- **V**) **VTr** | morbo **Er** : morbos **VR¹**

fragmenta varia de medicina (frr. 795-799)

795 T

TZETZ. Chil. 5, 130-133

πάνσοφος γὰρ ὑπῆρχε,
σὺν ἀστρολόγωι ποιητής, φιλόσοφος καὶ μάγος,
καὶ ἰατρὸς καὶ ἕτερα ὅσα Ὀρφεὺς καὶ ἄλλοι
γράφοντές μοι δεικνύουσιν οἷος ὑπῆρχεν οὗτος.

796 T (322 K.)

GALEN. De antid. 14, 144 **Kühn** περὶ δὲ τῶν συνθέτων (sc. φαρμάκων θανασίμων) λεχθήσεται. ἐκτίθεσθαι δὲ τὰς τούτων σκευασίας μοχθηρόν μοι δοκεῖ, καίπερ πολλῶν ἐπιχειρησάντων ταῖς τούτων συγγραφαῖς, ὧν ἐστιν Ὀρφεὺς ὁ ἐπικληθεὶς Θεολόγος καὶ Ὧρος ὁ Μενδήσιος ὁ νεώτερος καὶ Ἡλιόδωρος ὁ Ἀθηναῖος τραγωιδιῶν ποιητὴς (**TrGF I n. 209 Sn. = Suppl. Hell.** 471) καὶ Ἄρατος (**Suppl. Hell.** 98), καὶ ἄλλοι τινὲς τῶν τοιούτων συγγραφεῖς. τούτους μὲν οὖν ἄν τις θαυμάσειεν ἐμμέτρως ἐπιχειρήσαντας ταῖς περὶ τούτων πραγματείαις, μέμψαιτο δ' ἂν εὐλόγως διὰ τὰ πράγματα.

797 F (327 K.)

PROCL. in Plat. Remp. II 33, 14 **Kroll** οἱ δὲ Πυθαγόρειοι προσίενται, ὡς καὶ Ὀρφεύς, καὶ τὰ ἑπτάμηνα, καὶ φασὶν ἐν μὲν λε΄ ἡμέραις τὸ καταβληθὲν σπέρμα τύπον καὶ μορφὴν λαμβάνειν ἐπὶ τ‹ῶ›ν ἑ.. (**desunt 125 litterae**)... καὶ.. (**desunt 28 litterae**)... ‹ὅ›τι δὲ.. (**desunt 25 litterae**)... ‹κυ›ήσεως χρόνον, δῆλον καὶ ἐπὶ τῶν ..... ‹αἳ μὲν› γὰρ καθ' ἑκάστην τίκτουσιν, αἳ δὲ διὰ μιᾶς, αἳ δὲ καὶ δὶς ἐν μιᾶι ἡμέραι.

795 = frr. 718 et 823 || **131** μάγος] cf. adn. ad fr. 471 || **133** οἷος] ὅσα **w**

796 cf. Lob. 751; Giseke, Rh. Mus. 8, 1853, 119; Heeg, Festgabe Schanz, Würzburg 1912, 161 adn. 4; Martín Hernández, MHNH 3, 2003, 67 || **2** τούτων] τοιούτων Heeg || **3** ὧν εἰσιν Lob. || **4** Ὧρος] Βῶλος Anon. ap. Maass, Arat. 226 || **8** πραγματείαις] σκευασίαις Lob.

797 cf. Wellmann, Phil. Unters. 14, 152 adn. 4; Friedrich, ib. 15, 128 || **1** Πιθαγόριοι **m**[1] : corr. **m**[3] | de doctrina Pythagorica de septemmestri partu cf. Galen. 19, 454 Kühn, Censorin. 1, 8, 9, Macrob. Somn. Scip. 1, 6, 14 (et optimum comm. v. d. Regali ad loc.) || **3-5** suppl. Kroll || **5** 'fort. τῶν [ὀρνίθων' Kroll

798 F (330 K.)

Poll. 2, 39 τὸ δ' ἔγκοιλον αὐτοῦ (sc. τοῦ σκαφίου vel κρανίου) κορυφή, ὅπερ ἐν τοῖς Ὀρφικοῖς μέτροις ὀνομάζεται μεσόκρανον.

799 F (331 K., F 6 G.)

(I) Fulgent. Mytholog. 3, 7 (71, 19 Helm) nam et Orfeus illum (*sc.* talum) esse principalem libidinis indicat locum: nam denique et enterocelicis in isdem locis cauteria ponenda praecipiunt || (II) Mythogr. Vat. III 11, 24 et Orpheus in talo esse principalem libidinis indicat locum.

Φυσικά (frr. 800-803)

nihil de argumento huius carminis (vel horum carminum) dici potest, cf. Lob. 753ss; Ziegler, Orphische Dichtung, RE XVIII 2 (1942) 1416; West, Orphic Poems 9 et 13 | cf. Μετέωρα (fr. 836)?

800 T (T 222 + p. 325 K.)

(II) MARMOR PARIUM saec. III a. C. n. IG XII 5, 444, ed. Hiller de Gaertringen (FGrHist 239 A) 14 [ἀφ' οὗ Ὀρφεὺς ὁ Οἰάγρου καὶ Καλλιόπης] υἱὸ[ς τ]ὴ[ν ἑ]αυτοῦ πο‹ί›ησιν ἐξ[έ]θηκε Κόρης τε ἁρπαγὴν καὶ Δήμητρος ζήτησιν καὶ τὸν αὐτοῦ [............................]θος τῶν ὑποδεξαμένων τὸν καρπόν, ἔτη ΧΗΔΔΔΓ, βασιλεύοντος Ἀθηνῶν Ἐρεχθέως ‖ (III) CLEM. ALEX. Strom. 1, 21, 131, 3 καὶ τοὺς μὲν ἀναφερομένους εἰς Μουσαῖον χρησμοὺς Ὀνομακρίτου εἶναι λέγουσι, τὸν Κρατῆρα δὲ τὸν Ὀρφέως Ζωπύρου τοῦ Ἡρακλεώτου τήν τε Εἰς Ἅιδου κατάβασιν Προδίκου τοῦ Σαμίου. Ἴων δὲ ὁ Χῖος ἐν τοῖς Τριαγμοῖς καὶ Πυθαγόραν εἰς Ὀρφέα ἀνενεγκεῖν τινα ἱστορεῖ. Ἐπιγένης δὲ ἐν τοῖς Περὶ τῆς εἰς Ὀρφέα ποιήσεως Κέρκωπος εἶναι λέγει τοῦ Πυθαγορείου τὴν Εἰς Ἅιδου κατάβασιν καὶ τὸν Ἱερὸν λόγον, τὸν δὲ Πέπλον καὶ τὰ Φυσικὰ Βροντίνου. sequitur fr. 506 II ‖ (IV) SUDA s. v. Ὀρφεύς (III 564, 27 Adler), pergit fr. 874 ἔγραψε Τριαγμούς· λέγονται δὲ εἶναι Ἴωνος τοῦ τραγικοῦ· ἐν δὲ τούτοις τὰ Ἱεροστολικὰ καλούμενα· Κλήσεις κοσμικαί· Νεωτευκτικά· Ἱεροὺς λόγους ἐν ῥαψωιδίαις κδ'· λέγονται δὲ εἶναι Θεογνήτου τοῦ Θεσσαλοῦ, οἱ δὲ Κέρκωπος τοῦ Πυθαγορείου. Χρησμούς, οἳ ἀναφέρονται εἰς

6 Ἐπίχ., Ὅμ., Χοιρ. Scaliger | Χοιρίλος] test. dub. 12, vid. adn. ad loc. | Ἐπίχαρμος· συγγράμματα] Αἰσχύλος, συγγρ. Erfurdt : ἔστ' Ἐπίχαρμος, γράμματα Hermann ap. Dind. : εἶτ' Ἐπίχαρμος, γράμματα Cobet : οὑπίχαρμος, γράμματα Schmidt (coll. Men. fr. 838 K.-A. et Plat. Gorg. 505e) ‖ **(II-IV)** vid. Jac. et Colli ad loc.; Linforth 193 ‖ **2** [ἀφ' οὗ – **3** τ]ὴ[ν suppl. Boeckh ‖ **3** ἑ]αυτοῦ Hiller de Gaertringen ‖ **4** τὸν] τὴν Chandler | αὐτοῦ [καθαρμὸν καὶ τὸ θεῖον πά]θος Colli : αὐτου[ργηθέντα αὐτῆι σπόρον, ὃν ἐδίδαξε τὸ πλῆ]θος vel αὐτου[ργηθέντα ὑπ' αὐτῆς σπόρον καὶ τὸ ἐκεῖθεν ἔ]θος Diels (iam σπόρον καὶ τὸ πλῆ]θος Wil.) : αὐτου[ργηθέντα ὑπ' αὐτῆς σπόρον καὶ τὸ πλῆ]θος Jac. : αὐτοῦ [εὑρεθέντα (iam Hiller de Gaertringen) ὑπ' αὐτῆς σπόρον καὶ τὸ πλῆ]θος Kern : αὐτοῦ [εἰς Ἅιδου καταβαθμὸν καὶ τὸ γῆ]θος vel καὶ τὸ θεῖον πάθ]ος Boeck : αὐτοῦ [κατάβασιν καὶ μύ]θο‹υ›ς Chandler ‖ **6-12** cf. frr. 409; 707; 1106 II; 1124; Mus. 4 IV et adn. ad locc. ‖ **7** Κρατῆρα Canter : κράτητα **L** ‖ **8-9** Τριαγμοῖς Reines., Var. lect. p. 93 : τριγράμμοις **L** ‖ **10** ‹ἀναφερομένης› ποιήσεως Hiller | Κέρκοπος **L** | Πυθαγορίου **L** ‖ **13-25** cf. frr. 91; 92; 403; 411; 605 I; 606; 608s; 611s; 685 I; 709; 725; 782; 800 II; 805; 809; 811; 835; 838–841; 1100 II; 1105; 1106 III; 1111; 1120; 1123; 1125 III et comm. ad locc. | 'Epigenis catalogus haud dubie etiam pro fundamento Suidani habendus est' Kern ‖ **13** Τριαγμούς Küster (coll. Harpocr. s. v. Ἴων) : Τριασ- cod. | vid. fr. 506 et comm. ad loc. ‖ **14** Κλίσεις **GSM** | κοσμικὰς **S** : κοσμικαίας **GM** | Κλήσεις κοσμικαί pro scholio Christiani cuiuslibet habuit Die., qui vertit 'heidnische Litanien' | Νεωτευκτικά Hemsterhuis, Fabricius : Νεο- cod. : Ναο- Lob. 375 ‖ **15** Ἱεροὺς λόγους ἐν ῥαψωιδίαις κδ'] vid. ad fr. 90 | ῥαψωιδίαι **A** cp. **SM** | Θεογνήτου] cf. comm. ad fr.

Ὀνομάκριτον. Τελετάς, ὁμοίως δέ φασι καὶ ταύτας Ὀνομακρίτου. ‹Λιθικά›· ἐν τούτοις δ' ἔστι περὶ λίθων γλυφῆς, ἥτις Ὀγδοηκοντάλιθος ἐπιγράφεται. Σωτήρια· ταῦτα Τιμοκλέους τοῦ Συρακουσίου λέγεται ἢ Περσίνου τοῦ Μιλησίου. Κρητῆρας· ταῦτα Ζωπύρου φασί. Θρονισμοὺς Μητρώιους καὶ Βακχικά· ταῦτα Νικίου τοῦ Ἐλεάτου φασὶν εἶναι· Εἰς ἅιδου κατάβασιν· ταῦτα Ἡροδίκου τοῦ Περινθίου· Πέπλον καὶ Δίκτυον· καὶ ταῦτα Ζωπύρου τοῦ Ἡρακλεώτου, οἱ δὲ Βροτίνου· Ὀνομαστικὸν ἔπη ͵ασ', Θεογονίαν ἔπη ͵ασ', Ἀστρονομίαν, Ἀμμοσκοπικά, Θυηπολικόν, Ὠιοθυτικὰ ἢ Ὠιοσκοπικά, ἐπικῶς· Καταζωστικόν, Ὕμνους· Κορυβαντικόν· καὶ Φυσικά, ἃ Βροτίνου φασίν ||

(V) Orph. Arg. 7-46

νῦν γάρ σοι, λυροεργέ, φίλον μέλος ἀείδοντι
θυμὸς ἐποτρύνει λέξαι τά περ οὔ ποτε πρόσθεν
ἔφρασ', ὅταν Βάκχοιο καὶ Ἀπόλλωνος ἄνακτος
κέντρωι ἐλαυνόμενος φρικώδεα κῆλ' ἐπίφασκον,
θνητοῖς ἀνθρώποισιν ἄκη, μεγάλ' ὄργια μύσταις·
ἀρχαίου μὲν πρῶτα Χάους ἀμέγαρτον ἀνάγκην
καὶ Χρόνον, ὡς ἐλόχευσεν ἀπειρεσίοις ὑπὸ κόλποις
Αἰθέρα καὶ διφυῆ περιωπέα κυδρὸν Ἔρωτα,
Νυκτὸς ἀειγνήτης πατέρα κλυτόν, ὅν ῥα Φάνητα
ὁπλότεροι κλήσκουσι βροτοί - πρῶτος γὰρ ἐφάνθη - ·

91 | Κέρκωνος **S** || **17-18** ‹Λιθικά› add. Bernhardy || **19** ἢ Bernhardy : καὶ omnes || **21** εἶναι] εἰσιν **AM** : om. **S** || **22** Προδίκου K. O. Mueller, cf. frr. 1123s | Πειρινθίνου **AM** a.c. | καὶ[2] om. **S** || **23** Ἡρακλειώτου **G** | οἱ δὲ Βροτίνου om. **S** | Βροντίνου **G** | Ὀνομαστικά **G** cp. **M** : Ὀνομαστικῶν Lob. | Θεογονίαν ἔπη ͵ασ' om. **G** || **24** fort. Ἀστρονομικά Ziegler | Ἀμμοσκοπικά (i. e. de divinatione per arenam) Ziegler : Ἀμμοσκοπίαν Diels (coll. ἀλφιτομάντεις Poll. 8, 188, Hesych. s. v. ἀλφιτοσκόποι) : Ἀμοκοπία cod. : Ἀμνοσκοπίαν (coll. Paus. 6, 2, 5 μαντικὴν ‹δι'› ἐρίφων καὶ ἀρνῶν τε καὶ μόσχων) vel Ἀστροσκοπίαν Lob. (coll. Herm. in Plat. Phaedr. 95, 10 Couvr.) : Ἀνεμοσκοπίαν Fabricius : Ἀμνοκοπία Eschenbach (coll. Hesych. s. v. ἀμνοκόπος· ποιμήν) | Ὠιοσκοπικαί **S** || **24-25** ἐπικῶς] ἔπη addito versuum numero Lob. || **25** Καταζωτικόν **S** | ἃ om. **S** | Βροντίνου **GSM** || plures alios Orpheos trad. Suda, cf. fr. 870 || **(V)** vid. et. frr. 40s; 99; 238; 277; 291 III; 320 V; 380; 420; 610; 711; 723; 804 et comm. ad locc.; cf. et. introd. ad frr. 519-523 || **7-11** cf. Vian ad loc., p. 175; Sánchez Ortiz de Landaluce, Estudios sobre las Argonáuticas órficas, Amsterdam 1996, 235ss || **7** μοι **M[sl]O** | ἀοίδοντι **K** : ἀείδοντα **ζM[sl]** || **10** κέντρωι ἐλαυνόμενος] [vac.] νόμενος **K** : prave corr. **K[2]** | κῆλ' ἐπίφαυσκον **Mosch.[R]** : κῆλα πίφαυσκον Schneider || **11** θνητοῖς] πᾶσιν post trium litt. spatium **K** | μεγάλ' Pierson, West : μετὰ δ' **Ω** | ante μεγάλ' dist. **Ω** et West : post μ. Pierson | ὅρκια **Ω** || **12** φάους **Mosch.[G]** || **13** Χρόνον **Mosch.[1]** Zoëga : Κρόνον **Ω** | ἀπειρεσίοις ὑπὸ κόλποις Steuchus (cf. Vian p. 75 adn. 13) : ἀπειρεσίοισιν ὑπ' (ἐπ' **K**) ὁλκοῖς **Ω** : unde ἀπειρεσίοισιν ὑφ' ὁλκοῖς Stephanus prob. Vian || **14** κυδνὸν **M[sl]O** || **15** Φανῆτα **Ω** || **16** κλήσκουσι Vian, Ill. Class.

Βριμοῦς τ' εὐδυνάτοιο γονάς, ἠδ' ἔργ' ἀίδηλα
Γιγάντων, οἳ λυγρὸν ἀπ' οὐρανοῦ ἐστάξαντο
σπέρμα γονῆς τὸ πρόσθεν, ὅθεν γένος ἐξεγένοντο
θνητῶν οἳ κατὰ γαῖαν ἀπείριτον αἰὲν ἔασι· 20
τιτθείαν τε Ζηνός, ὀρεσσιδρόμου τε λατρείαν
Μητρός, ἅ τ' ἐν Κυβέλοις ὄρεσιν μητίσατο κούρην
Φερσεφόνην περὶ πατρὸς ἀμαιμακέτου Κρονίωνος· 23
χρησμούς τ' ἀρρήτους Νυκτὸς περὶ Βάκχου ἄνακτος. 28
Κασμίλου τε καὶ Ἡρακλέος περίφημον ἄμυξιν· 24
ὄργιά τ' Ἰδαίων, Κορυβάντων τ' ἄπλετον ἰσχύν. 25
Δήμητρός τε πλάνην, καὶ Φερσεφόνης μέγα πένθος,
Θεσμοφόρος θ' ὡς ἦν· ἠδ' ἀγλαὰ δῶρα Καβείρων, 27
Λῆμνόν τε ζαθέην ἠδ' εἰναλίην Σαμοθράικην· 29
αἰπεινήν τε Κύπρον, καὶ Ἀδωναίην Ἀφροδίτην, 30
ὄργια Πραξιδίκης καὶ ὀρεινῆς νύκτας Ἀθηλῆς·
θρήνους τ' Αἰγυπτίων καὶ Ὀσίριδος ἱερὰ χύτλα.
ἀμφὶ δὲ μαντείης ἐδάης πολυπείρονας οἴμους
θηρῶν οἰωνῶν τε καὶ ἣ σπλάγχνων θέσις ἐστίν,
ἠδ' ὅσα θεσπίζουσιν ὀνειροπόλοισιν ἀταρποῖς 35
ψυχαὶ ἐφημερίων ὕπνωι βεβολημέναι ἦτορ.

Stud. 6, 1981, 136ss : κικλήσκουσι **Ω** : καλέουσι e^{γρ} **E**^{γρ} : κλήιζουσι Hermann ‖ **18** γηγενέων e^{γρ} **E**^{γρ} : Τιτάνων Pierson | οὐρανοῦ et ἐστάξαντο Dottin : Οὐρ. et ἐστάξαντο, Vian (post v. dist. **zO** et Buse), vid. Bernabé, Mélanges F. Vian, Alessandria 2003, 31ss ‖ **19** post τὸ πρ. dist. codd.: ante τὸ πρ. Schneider et edd. recc. ‖ **20** ἔασσι(ν) habuit **Ω** ‖ **21** τιτθείαν Ludwich[1] : θητείαν **Ω** (quod def. Sánchez Ortiz de Landaluce 21, Ζηνὸς gen. objectivum esse putans) : fort. τηθείαν Vian | ὀρεσσινόμου coll. Nonn. Dion. 43, 22 dub. prop. Vian in app. crit. ‖ **22** κούρη Schneider : κούρηι Voss ‖ **23** Περσεφόνην **Vc** : Φερσεφόνη Schneider : Φερσεφόνηι Voss | παρὰ **Mosch.**^{S} ‖ **28** post v. 15 dub. transp. West : post. v. 23 transposui | θεσμούς **Mosch.**^{R} | παρὰ βάκχαις **K** ‖ **24** Κασμίλου West : καὶ μήλου **Ω** : μήλου **ζ** : εὐμήλου **Mosch.**^{GS} : καὶ Βήλου Vian, Ill. Class. Stud. 6, 1981, 136ss | Κασμίλου] cf. Tab. defix. Antiochiae inventam saec. V-VI p. C. n. (ed. Hollmann, Zeitschr. Pap. Epigr. 145, 2003, 67ss), ubi inveniuntur Καδμῖλε et Καδμῖλος (vv. 1-2); vid. Hollmann, comm. ad loc. | Ἡρακλέους **A** : Ἡρακλῆος **ζ** ‖ **25** ὅρκια **Ω** | τ'^{2} om. **K** ‖ **26** Περσεφόνης **O** ‖ **27** θ' ὁσίην Pierson | Καβείρων] παρέσκε **K** ‖ **29** Σαμοθρήικην Hermann ‖ **29-30** cf. Sánchez Ortiz de Landaluce 265ss ‖ **31** Πραξιδίκης] cf. Tab. defix. laud. in comm. ad v. 24, ubi invenies in lin. 33 Πραξιδίκα, cf. et. Hollmann, comm. ad loc. | ὀρεινῆς Hermann : ἀρείνης **Ω** : ἀρείης **B**^{2γρ} Sitzler | νύκτας Gesner, Hermann : νυκτὸς **Ω** : μητρὸς **Mosch**^{GS} : νῖκος Sitzler | Ἀθηλῆς Vian : Ἀθήνης **Ω** : trad. def. Sánchez Ortiz de Landaluce 266s ‖ **33** ἐδάην **ζ** | οἴμους Ruhnken[1] : ὅρμους (ὄρ- **N**) **Ω** ‖ **34** θηρῶν τ' Slothouwer | ἣ (i. e. ἧι) **E?** **Mosch.** ‖ **35** ἀταρποὺς **Ω** ‖ **36** ἐφημερίαν **Ω** ‖

σημείων τεράτων τε λύσεις, ἄστρων τε πορείας,
ἀγνοπόλον τε καθαρμόν, ἐπιχθονίοις μέγ' ὄνειαρ,
ἱλασμούς τε θεῶν, φθιμένων τ' ἐπινήχυτα δῶρα.
ἄλλα δέ σοι κατέλεξ' ἅπερ εἴσιδον ἠδ' ἐνόησα,
Ταίναρον ἡνίκ' ἔβην σκοτίην ὁδὸν, Ἄϊδος εἴσω,
ἡμετέρηι πίσυνος κιθάρηι δι' ἔρωτ' ἀλόχοιο·
ἠδ' ὅσον Αἰγυπτίων ἱερὸν λόγον ἐξελόχευσα,
Μέμφιν ἐς ἠγαθέην πελάσας, ἱεράς τε πόληας
Ἄπιδος ἃς πέρι Νεῖλος ἀγάρροος ἐστεφάνωται.
πάντα μάλ' ἀτρεκέως ἀπ' ἐμῶν στέρνων δεδάηκας.

(VI) Const. Lascaris Προλεγόμενα τοῦ σοφοῦ Ὀρφέως **60** (**35 Martínez Manzano**) ἀποθανόντα δὲ αὐτὸν (sc. Ὀρφέα) μεγάλως ἐτίμησε πᾶσα ἡ Ἑλλὰς ὡς ἄνδρα εὐγενῆ καὶ σοφὸν καὶ τῶν ποιητῶν τρίτον· πρὸ αὐτοῦ γὰρ ὀλίγον Μουσαῖος Ἐλευσίνιος (**fr. 4 XI**) ἐγένετο καὶ Λίνος ὁ Θηβαῖος (**fr. 43 VIII**) καθηγητὴς αὐτοῦ. μεθ' ὃν Ὀρφέα ἀριθμοῦσι τρίτον ἀρχηγὸν φιλοσοφίας, ποιητικῆς καὶ πάσης ἐπιστήμης, καὶ οὐδενὸς καταδεέστερον, καὶ τῶν εἰς Αἴγυπτον πλευσάντων ἀρχαίων καὶ παρ' Αἰγυπτίων λαβόντων πάντα, ὧν πρῶτον Μουσαῖον δεύτερον Λίνον τρίτον Ὀρφέα, Μελάμποδα καὶ Δαίδαλον λέγουσι, cf. **77** (**35 Martínez Manzano**) κατέλιπε δὲ (sc. Ὀρφεύς) συγγράμματα μετρικὰ πάμπολλα, ὅσα καὶ αὐτὸς ἐν Ἀργοναυτικοῖς (**vid. V**) κατ' ἐπανάληψιν ἀριθμεῖ, καὶ τὰ πλείω μυθικῶς κατὰ τὸν ποιητικὸν τρόπον· περὶ θεῶν καὶ κοσμογονίας, ὕμνους διαφόρους εἰς θεούς, γεωργικὰ φυσικὰ ἀστρολογικὰ μετέωρα μαγικὰ λιθικὰ μυστήρια διάφορα, περὶ ζώων φυτῶν βοτανῶν χωρογραφίας ἰατρικῆς νόμων καὶ ἁπλῶς εἰπεῖν περὶ παντὸς πράγματος, παρ' Αἰγυπτίων τὰ πλείω μετενεγκών· τελευταῖα δὲ τὰ ἀργοναυτικά, κτλ || (VII) Cels. **ap. Origen. c. Cels. 1, 16 [= Cels. p. 45 Bader]** Λίνον δὲ (**fr. 49**) καὶ Μουσαῖον (**fr. 32**) καὶ Ὀρφέα καὶ τὸν Φερεκύδην καὶ τὸν Πέρσην Ζωροάστρην καὶ Πυθαγόραν φήσας περὶ τῶνδε διειληφέναι, καὶ ἐς βίβλους καταтεθεῖσθαι τὰ ἑαυτῶν δόγματα καὶ πεφυλάχθαι αὐτὰ μέχρι δεῦρο. καὶ ἑκὼν μὲν ἐπελάθετο τοῦ περὶ τῶν νομιζομένων θεῶν μύθου ὡς ἀνθρωποπαθῶν, ἀναγεγραμμένου μάλιστα ὑπὸ Ὀρφέως || (VIII) Philostr. **Vit. Apoll. 4, 21** ἐπιπλῆξαι δὲ λέγεται περὶ Διονυσίων Ἀθηναίοις, ἃ ποιεῖταί σφισιν ἐν ὥραι τοῦ ἀνθεστηριῶνος· ὁ μὲν γὰρ μονωιδίας ἀκροασομένους καὶ μελοποιίας παραβάσεών τε καὶ ῥυθμῶν, ὁπόσοι κωμωιδίας τε καὶ τραγωιδίας εἰσίν, ἐς

37 τεράων **Mosch.**[G] || **41** Ταινάρου Gesner || **43** ἠδ' ὅσον] [vac.]ον **K** | λόγον **Vrat. Rehd.** ('felici errore' Vian) : λόχον **Ω**|| **44** Μέμφιν ἐς **om. K** spatio relicto | περάσας **Mosch.**[G] || **45** ἀπϊ [vac.] πέρι **K** | ἐστεφάνηται **K** || **(VI)** de hoc opere cf. Martínez Manzano, Konstantinos Laskaris, Humanist, Philologe, Lehrer, Kopist, Hamburg 1994, 33ss | cf. frr. 685 II; 721; 768; 784; 801; 826; 836s; 842 et comm. ad locc. || cf. et. Claudian. Epithalam. de nuptiis Honorii Augusti (X) 229, Carm. min. 31, 27ss, 23, 11ss, De raptu Proserp. II praef.

τὸ θέατρον ξυμφοιτᾶν ᾤετο, ἐπεὶ δὲ ἤκουσεν, ὅτι αὐλοῦ ὑποσημήναντος λυγισμοὺς ὀρχοῦνται καὶ μεταξὺ τῆς Ὀρφέως ἐποποιίας τε καὶ θεολογίας τὰ μὲν ὡς Ὧραι, τὰ δὲ ὡς Νύμφαι, τὰ δὲ ὡς Βάκχαι πράττουσιν, ἐς ἐπίπληξιν τούτου κατέστη καὶ 'παύσασθε' εἶπεν 'ἐξορχούμενοι τοὺς Σαλαμινίους καὶ πολλοὺς ἑτέρους κειμένους ἀγαθοὺς ἄνδρας', κτλ.

Orpheus dis et rebus nomina imponens (fr. 1019-1020)

1019 T

(I) P. Derveni saec. IV a. C. n. col. XXII 1 πάν[τ' οὖ]ν ὁμοίω[ς ὠ]νόμασεν ὡς ̣κάλλιστα ἠ[δύ]ṿατο, γινώσκων τῶν ἀνθρώπων τὴμ φύσιν, ὅτι οὐ πάντες ὁμοίαν ἔχουσιν οὐδ' ἐθέλουσιμ πάντες ταὐτά ‖ (II) P. Derveni col. XVIII 6 Ὀρφεὺς γὰρ τὴμ φρόνησιμ Μοῖραν ἐκάλεσεν· ἐφαίνετο γὰρ αὐτῶι τοῦτο προσφερέστατον ε[ἶ]ναι ̣ἐξ ὧν ἅπαντες ἄνθρωποι ὠνόμασαμ ‖ (III) Ioann. Diacon. Galen. ad Hes. Th. 411 (Gaisf. II 576, 31) μυρία παρ' Ὀρφεῖ τὰ μεταληπτικῶς ἔχοντα τῶν ὀνομάτων εὑρήσεις.

1020 T

(I) Athenag. Pro Christ. 17, 1 (122 Pouderon) φημὶ οὖν Ὀρφέα καὶ Ὅμηρον καὶ Ἡσίοδον εἶναι ‹τοὺς καὶ γένη καὶ ὀνόματα δόντας› τοῖς ὑπ' αὐτῶν λεγομένοις θεοῖς ‖ (II) Athenag. Pro Christ. 18, 3 (128 Pouderon) Ὀρφέως δέ, ὃς καὶ τὰ ὀνόματα αὐτῶν (sc. θεῶν) πρῶτος ἐξηῦρεν καὶ τὰς γενέσεις διεξῆλθεν καὶ ὅσα ἑκάστοις πέπρακται εἶπεν καὶ πεπίστευται παρ' αὐτοῖς ἀληθέστερον θεολογεῖν. sequitur fr. 879 III.

1019 cf. Janko, Zeitschr. Pap. Epigr. 141, 2002, 44 | de P. Derveni cf. fr. 2ss ‖ **1-2** suppl. ZPE ‖ **1** ὠνόμασεν] sc. Orpheus ‖ **2** post ἠ[δύ]ṿατο dist. Janko ‖ **3** οὐδ' ἐθέλουσιμ Janko : οὐδὲ θέλουσιμ Tsants. | de re cf. Ricciardelli Apicella, Boll. Class. 3ª ser. 1, 1980, 129; Gambarara in: Auroux et al., Matériaux pour une histoire des théories linguistiques, Lille 1984, 110 'ce ne sont pas les dieux qui naissent mais leur noms'; cf. et. Henry, Trans. Am. Phil. Ass. 116, 1986, 154ss; Bernabé, Rev. Esp. Ling. 22, 1992, 51; Jourdan, Le papyrus de Derveni, Paris 2003, 22; Betegh, The Derveni papyrus, Cambridge 2004, 189s | cf. et. Procl. in Plat. Cratyl. 66, 28 Pasquali (fr. 109 II) Ὀρφεὺς ... πάντα τὰ πρὸς τοῦ Οὐρανοῦ μέχρι τῆς πρωτίστης αἰτίας ὀνόμασιν ἐδήλωσεν ‖ **4** φρόνησιμ Μοῖραν] cf. Jourdan 81; Betegh 200ss

1020 2 τοὺς – δόντας huc transtulit Otto ‖ **4** ἐξεῦρε **SP** | γενέσις **N** ‖ **5** post πεπίστευται add. βασιλείαν ἐξετάζειν· ὡς γὰρ ὑμῖν πατρὶ καὶ υἱῶι πάντα κεχείρωται ἄνωθεν (ex 18, 2) **ANSP** a.c. : del. Estienne, cf. Pouderon p. 325

philosophus (fr. 1021-1022)

cf. et. Plat. Prot. 316d (fr. 806) ἐγὼ δὲ τὴν σοφιστικὴν τέχνην φημὶ μὲν εἶναι παλαιάν, τοὺς δὲ μεταχειριζομένους αὐτὴν τῶν παλαιῶν ἀνδρῶν ... προκαλύπτεσθαι, τοὺς μὲν ποίησιν ... τοὺς δὲ αὖ τελετάς τε καὶ χρησμωιδίας, τοὺς ἀμφί τε Ὀρφέα καὶ Μουσαῖον, Plut. fr. *202 Sandbach (cf. fr. 1 I) καὶ μὴν οὐδέν ἐστιν οὕτω τῆς Πυθαγορικῆς φιλοσοφίας ἴδιον ὡς τὸ συμβολικόν, οἷον ἐν τελετῆι μεμιγμένον φωνῆι καὶ σιωπῆι διδασκαλίας γένος, Clem. Alex. Strom. 5, 4, 24, 1 (fr. 669 V) ἀλλὰ καὶ οἱ παρὰ τούτων τῶν προφητῶν τὴν θεολογίαν δεδιδαγμένοι ποιηταὶ δι' ὑπονοίας πολλὰ φιλοσοφοῦσι, τὸν Ὀρφέα λέγω, τὸν Λίνον, τὸν Μουσαῖον (fr. 53), τὸν Ὅμηρον καὶ Ἡσίοδον καὶ τοὺς ταύτηι σοφούς. παραπέτασμα δὲ αὐτοῖς πρὸς τοὺς πολλοὺς ἡ ποιητικὴ ψυχαγωγία, Himer. Declam. 35, 34 (147 Colonna = fr. 669 VI) τοιοῦτόν τινα τάχα καὶ τὸν Ὀρφέα γενέσθαι σοφιστὴν ὁ μῦθος αἰ[νίττεται κτλ, Themist. Or. 2, 37c, cf. et. Tzetz. Chil. 5, 130s (fr. 718) πάνσοφος γὰρ ὑπῆρχε / σὺν ἀστρολόγωι ποιητής, φιλόσοφος καὶ μάγος, / καὶ ἰατρὸς καὶ ἕτερα ὅσα Ὀρφεύς, Psell. Theol. Opusc. 10, 50s (p. 39 Gautier) ταὐτὰ συμφιλοσοφῶν τοῖς Ὀρφικοῖς καὶ [τοῖς Χαλδαϊκ]οῖς, cf. Opusc. 4, 44ss (p. 16), 69, 35ss (p. 266), Const. Lascaris Προλεγόμενα τοῦ σοφοῦ Ὀρφέως 63 (35 Martínez Manzano), plura invenies in fr. 1018 VI μεθ' ὃν Ὀρφέα ἀριθμοῦσι τρίτον ἀρχηγὸν φιλοσοφίας, ποιητικῆς καὶ πάσης ἐπιστήμης | Neoplatonici passim Orphea philosophorum numero adnumerant

1021 T (T 14 K)

(I) Plut. De Pyth. orac. 18 p. 402e πρότερον μὲν ἐν ποιήμασιν ἐξέφερον οἱ φιλόσοφοι τὰ δόγματα καὶ τοὺς λόγους, ὥσπερ Ὀρφεὺς καὶ Ἡσίοδος κτλ || (II) Iulian. Or. 7, 10 (II 1, 58 Rochefort) φαίνονται γὰρ πολλοὶ καὶ τῶν φιλοσόφων αὐτὸ καὶ τῶν θεολόγων ποιήσαντες, ὥσπερ Ὀρφεὺς μὲν ὁ παλαιότατος ἐνθέως φιλοσοφήσας, οὐκ ὀλίγοι δὲ καὶ τῶν μετ' ἐκεῖνον || (III) Clem. Alex. Strom. 1, 15, 66, 1 οἵδε μὲν οἱ χρόνοι τῶν παρ' Ἕλλησι πρεσβυτάτων σοφῶν τε καὶ φιλοσόφων. ὡς δὲ οἱ πλεῖστοι αὐτῶν βάρβαροι τὸ γένος ... τί δεῖ καὶ λέγειν, εἴ γε ... Ἀντισθένης ... Φρὺξ ἦν καὶ Ὀρφεὺς Ὀδρύσης ἢ Θρᾶιξ; || (IV) Diog. Laert. 1, 5 (cf. fr. 887 II) οἱ δὲ τὴν εὕρεσιν διδόντες ἐκείνοις παράγουσι καὶ Ὀρφέα τὸν Θρᾶικα, λέγοντες φιλόσοφον γεγονέναι

1021 1-2 cf. Bernabé in: Gallo (ed.), Plutarco e la Religione, Napoli 1996, 87s || **1** πρότεροι cod. praeter **B** || **9** ἢ del. Cobet || **12** πολλαὶ Hermann : πάλαι **V** ||

καὶ εἶναι ἀρχαιότατον, sequitur fr. 8 III || (V) ANON. Prolegomena philosophiae Platonicae 7 (11 Westerink-Trouillard-Segonds) πολλαὶ τοίνυν γεγόνασι πρὸ Πλάτωνός τε καὶ μετὰ Πλάτωνα φιλοσόφων αἱρέσεις ... ἦσαν δὲ πρὸ αὐτοῦ μὲν αἱρέσεις αὗται· ἥ τε ποιητική, ἧς καθηγεμόνες γεγόνασιν Ὀρφεύς, Ὅμηρος, Μουσαῖος (fr. 54) τε καὶ Ἡσίοδος || (VI) LUCIAN. Fugit. 8 μετὰ δ' οὖν τοὺς Βραχμᾶνας εἰς Αἰθιοπίαν εὐθύς, εἶτα εἰς Αἴγυπτον κατέβην (loquitur ἡ Φιλοσοφία) ... εἶτα εἰς Θράικην, ἔνθα μοι Εὔμολπός τε καὶ Ὀρφεὺς συνεγενέσθην, οὓς καὶ προαποστείλασα ἐς τὴν Ἑλλάδα, τὸν μὲν ὡς τελέσειεν αὐτούς, τὸν Εὔμολπον – ἐμεμαθήκει γὰρ τὰ θεῖα παρ' ἡμῶν ἅπαντα – τὸν δὲ ὡς ἐπάιδων προσβιβάζοι τῆι μουσικῆι, κατὰ πόδας εὐθὺς εἰπόμην.

1022 T

ORIGEN. c. Cels. 1, 18 εἴποιμεν δ' ἂν προκαλούμενοι βίβλους βίβλοις παραβάλλεσθαι ὅτι φέρε, ὦ οὗτος, τὰ Λίνου (fr. 75 I) καὶ Μουσαίου (fr. 42) καὶ Ὀρφέως ποιήματα καὶ Φερεκύδου τὴν γραφὴν καὶ συνεξέταζε τοῖς Μωϋσέως νόμοις, ἱστορίας ἱστορίαις καὶ ἠθικοὺς λόγους νόμοις καὶ προστάγμασι παρατιθείς· καὶ ὅρα ὁποῖα μᾶλλον ἐπιστρέψαι δύναται καὶ αὐτόθεν τοὺς ἀκούοντας, καὶ τίνα αὐτῶν κἂν ἐπιτρῖψαι τὸν ἀκροατήν· καὶ κατανόει ὅπως τὸ μὲν τάγμα τῶν σῶν συγγραφέων ὀλίγον μὲν ἐφρόντισε τῶν αὐτόθεν ἐντευξομένων, μόνοις δὲ ἄρα τοῖς τροπολογῆσαι καὶ ἀλληγορῆσαι δυναμένοις ἔγραψε 'τὴν ἰδίαν', ὡς φῄς (Cels. p. 46 Bader) 'φιλοσοφίαν'.

Dorica dialecto usus (fr. 1023)

1023 T (T 247 K.)

IAMBLICH. Vit. Pyth. 34, 243 κεχρῆσθαι δὲ (sc. ὁμολογούμενον) τῆι Δωρικῆι διαλέκτωι καὶ τὸν Ὀρφέα, πρεσβύτατον ὄντα τῶν ποιητῶν.

musices inventor (frr. 1024-1025)

cf. musicum (fr. 943ss) et instrumenta musica (fr. 971ss)

14 Ὀρφεύς – **15** Ἡσίοδος] 'ce sont exactement les poètes mentionnés par Platon, Apol. 41A 6-7 [vid. fr. 1076 I] et Prot. 316D 7-9 [fr. 549 I]' Westerink-Trouillard-Segonds ad loc. 57 || **15** οὖν Jacobitz : γοῦν cod. || **17** τε om. **BN**

1022 3 Φερεκύδου τὴν γραφὴν] cf. Schibli p. 3s adn. 8

1023 2 πρεσβύτατον Cobet : πρεσβύτερον **F**

1024 T (T 31 + 197 K.)

(I) Strab. 10, 3, 17 οἵ τ' ἐπιμεληθέντες τῆς ἀρχαίας μουσικῆς Θρᾶικες λέγονται, Ὀρφεύς τε καὶ Μουσαῖος (frr. 7 I; 24 I) καὶ Θάμυρις, καὶ τῶι Εὐμόλπωι δὲ τοὔνομα ἐνθένδε, καὶ οἱ τῶι Διονύσωι τὴν Ἀσίαν ὅλην καθιερώσαντες μέχρι τῆς Ἰνδικῆς ἐκεῖθεν καὶ τὴν πολλὴν μουσικὴν μεταφέρουσι || (II) David Prol. philos. 63, 26 Busse τὴν δὲ μουσικὴν οἱ Θρᾶικες (sc. εὗρον)· ἐκεῖθεν γὰρ ἦν ὁ Ὀρφεύς, ὅστις λέγεται εὑρηκέναι τὴν μουσικήν· Θρᾶιξ γὰρ ὁ Ὀρφεύς. ἐπενόησε δὲ ἐμβατήρια μέλη διεγείροντα πρὸς θυμὸν αὐτοὺς ὡς ἄγαν ὄντας πολεμικούς· ἡ γὰρ ψῦξις ἀποκλείουσα τὸ θερμὸν ἐν τῶι βάθει δριμύτερον αὐτὸ ποιεῖ, ὅθεν καὶ θυμώδεις εἰσὶ καὶ πολεμικοὶ τῆι βίαι τοῦ θερμοῦ καὶ ὀρχηστικοὶ δὲ διὰ τὰς ἑτοίμους φυγὰς τῶν βελῶν· ἔστι γὰρ καὶ πυρρίχιος παρ' αὐτοῖς ὄρχησις, ὅ ἐστιν ἐνόπλιος, κατὰ τὸ εἰρημένον τῶι ποιητῆι || (III) Tatian. Or. ad Graec. 1, 2 (7 Marc.) ποίησιν μὲν γὰρ ἀσκεῖν καὶ ἄιδειν Ὀρφεὺς ἡμᾶς (sc. τοὺς Ἕλληνας) ἐδίδαξεν, ὁ δὲ αὐτὸς καὶ μυεῖσθαι || (IV) Ps.-Galen. Part. philos. 29 (Kotrc ap. Thes. Ling. Graec.) ἔλθωμεν δὲ καὶ εἴπωμεν, τίνων εἰσὶν εὑρήματα. ἰστέον ὅτι ἡ ἀριθμητικὴ ὑπὸ τῶν Φοινίκων εὑρέθη ... τὴν δὲ μουσικὴν οἱ Θρᾶικες· ἐκεῖθεν γὰρ ὁ Ὀρφεύς, ὅστις λέγεται εὑρηκέναι τὴν μουσικήν || (V) Eust. in Il. p. 299, 5 καὶ ὅτι Θρᾶικες ἦσαν οἱ ἐπιμεληθέντες τῆς ἀρχαίας μουσικῆς, Ὀρφεύς, Μουσαῖος (frr. 7 II; 24 II) καὶ Θάμυρις· καὶ ὅτι ἐν τῆι ἀκτῆι τῆι περὶ τὸν Ἄθων Θάμυρις ὁ Θρᾶιξ ἐβασίλευσε τῶν αὐτῶν ἐπιτηδευμάτων γενόμενος, ὧν καὶ ὁ Κίκων Ὀρφεύς (fr. 1121 II), ὃς Ὀρφεὺς τὰ πρῶτα μὲν ἀγυρτεύων διέζη, εἶτα καὶ μειζόνων ἀξιῶν ἑαυτὸν καὶ ὄχλον καὶ δύναμιν περιποιούμενος διεφθάρη ἐξ ἐπισυστάσεως, ἀνὴρ γόης ἀπὸ μουσικῆς τε καὶ μαντικῆς καὶ τῶν περὶ τὰς τελετὰς ὀργιασμῶν.

1025 T

Theophil. ad Autolyc. 2, 30 (80 Marc.) ἄλλοι δὲ Ὀρφέα ἀπὸ τῆς τῶν ὀρνέων ἡδυφωνίας φασὶν ἐξευρηκέναι τὴν μουσικήν. κενὸς δὲ καὶ μάταιος ὁ λόγος αὐτῶν δείκνυται· μετὰ γὰρ πολλὰ ἔτη τοῦ κατακλυσμοῦ οὗτοι ἐγένοντο.

Aegyptiorum ritus vel fabulae apud Graecos ab Orpheo traditi

cf. frr. 48-53

1024 6 ὁ om. **TV** | ὅστις – μουσικήν in mg. suppl. **V²** || **6** Θρᾶιξ – **7** Ὀρφεύς om. **V** || **7** δὲ om. **V** || **7** αὐτοὺς – **8** πολεμικούς] ὡς ἄγαν πολεμικοὶ ὄντες **V** || **8** ἡ] καὶ Brandis || **10** δὲ om. **T** | μελῶν **T** | ἔτι **V** || **11** παρ' om. **K** || **11-12** τῶι ποιητῆι] Π 617 || **17-19** cf. Strab. (I) || **21-24** cf. Strab. 7, fr. 10a Radt (fr. 554)

scriptura usus vel litterarum inventor (frr. 1026-1027)

cf. et. Schol. Eur. Alc. 968 (II 239, 4 Schwartz = fr. 813 I) ὁ δὲ φυσικὸς Ἡρακλείδης εἶναι ὄντως φησὶ σανίδας τινὰς Ὀρφέως, γράφων οὕτως· τὸ δὲ τοῦ Διονύσου κατεσκεύασται {ἐπὶ} τῆς Θράικης ἐπὶ τοῦ καλουμένου Αἵμου, ὅπου δή τινας ἐν σανίσιν ἀναγραφὰς εἶναί φασιν ‹Ὀρφέως›' | vid. et. Suda s. v. Κάδμος (III 2, 23 Adler = FGrHist 489 T 1b) Κάδμος, Πανδίονος, Μιλήσιος, ἱστορικός, ... μικρῶι νεώτερος Ὀρφέως. ... ὅτι τὸν Κάδμον φασὶ πρῶτον ἐς τὴν Ἑλλάδα κομίσαι τὰ γράμματα, ἅπερ πρῶτοι Φοίνικες ἐφεῦρον

1026 T (T 43 K.)

Diod. 3, 67, 4 (= Dionys. Scyt. FGrHist 32 F 8, 1a 32 = fr. 8 p. 135 Rusten) τὸν δ' οὖν Λίνον (fr. 55 II) φασὶ τοῖς Πελασγικοῖς γράμμασι συνταξάμενον τὰς τοῦ πρώτου Διονύσου πράξεις καὶ τὰς ἄλλας μυθολογίας ἀπολιπεῖν ἐν τοῖς ὑπομνήμασιν. 5 ὁμοίως δὲ τούτοις χρήσασθαι τοῖς Πελασγικοῖς γράμμασι τὸν Ὀρφέα καὶ Προνοπίδην τὸν Ὁμήρου διδάσκαλον, εὐφυῆ γεγονότα μελοποιόν· πρὸς δὲ τούτοις Θυμοίτην τὸν Θυμοίτου τοῦ Λαομέδοντος, κατὰ τὴν ἡλικίαν γεγονότος τὴν Ὀρφέως, πλανηθῆναι κτλ.

1027 T (T 123 K., 4 [B 6] C.)

Alcidam. Ulix. 24 (p. 32 Avezzù = p. 30 Muir = Anth. Gr. App. Ep. sepulcr. 148, 1), plura invenies in fr. 1073 I γράμματα μὲν δὴ πρῶτος Ὀρφεὺς ἐξήνεγκε, παρὰ Μουσῶν μαθών, ὡς καὶ ἐπὶ τῶι μνήματι αὐτοῦ δηλοῖ τὰ ἐπιγράμματα· ... εὑρὼν ἀνθρώποις γράμματα καὶ σοφίην. sequitur Lin. fr. 62 II.

1026 cf. Bernabé, in: Alganza Roldán et al. (edd.), ΕΠΙΕΙΚΕΙΑ. Studia Graeca in memoriam Jesús Lens Tuero, Granada 2000, 41s; eund., Ítaca 18, 2002, 66; cf. et. adnot. ad fr. 941 || **2** τοὺς Πελασγικοὺς **C** || **5** Προναπίδην **CV** (cf. *Pronopidas* **P**) || **7** γεγονότος Gruppe, Ziegler, RE XVIII 1 (1939) 1211 : γεγονότα cod. | τὴν²] τοῦ vulg.

1027 2 μὲν δὲ Ald. : μέν γε Canter || **3** μαθών in ras. **A**: λαβών **Bu¹** | τὰ post καὶ transp. **Ξ** Ald., Reiske, Bekker | αὐτῶι **Co** || **3-4** τὰ ἐπιγράμματα] 'it may have been composed about 431 b. C. as a bit of propaganda to mollify the Thracians' Linforth 15s, cf. et. eund., Trans. Am. Phil. Ass. 62, 1931, 5ss; Kleingünther, Πρῶτος εὑρετής, Leipzig 1933, 38s; Coman, Orphée, civilisateur de l'humanité, Paris 1939, 30ss; Avezzù ad loc. p. 82; Harding, Androtion and the Atthis, Oxford 1994, 181; Muir ad loc. p. 82s

immo Thraces illiterati (fr. 1028)

1028 T (T 32 K.)

Aelian. V. H. 8, 6 (94, 25 Dilts) τῶν ἀρχαίων φασὶ Θρακῶν μηδένα ἐπίστασθαι γράμματα ... ἔνθεν τοι καὶ τολμῶσι λέγειν μηδὲ τὸν Ὀρφέα σοφὸν γεγονέναι, Θρᾷκα ὄντα, ἀλλ' ἄλλως τοὺς μύθους αὐτοῦ κατεψεῦσθαι. ταῦτα Ἀνδροτίων (FGrHist 324 F 54a) λέγει, εἴ τωι πιστὸς ὑπὲρ τῆς ἀγραμματίας καὶ ἀπαιδευσίας Θρακῶν τεκμηριῶσαι.

metri heroici auctor (fr. 1029)

1029 T (T 106 + 126 K.)

(I) Mallius Theodor. De metris 4, 1 (VI 589, 20 Keil = Suppl. Hell. 666 D Lloyd-Jones – Parsons) metrum dactylicum hexametrum inventum primitus ab Orpheo Critias (*88 B 3 D.-K.*) adserit, Democritus (*68 B 16 D.-K.*) a Musaeo (*fr. 29 I*), Persinus (*cf. fr. 1125 IV*) a Lino (*fr. 56 I*) || (II) Marius Plot. Sacerd.

1028 'A.s view on Orpheus ... probably criticizes an opinion prevailing in the fourth century' Jac. ad Androt. loc.; cf. Schol. Aristid. p. 544, 33 Dind. ὅτι δὲ καὶ ἀρχαιότερος (sc. Ὅμηρος) μαρτυρεῖ καὶ Ἀνδροτίων (FGrHist 324 F 54b); vid. et. Rob., Heldens., I, 398 adn. 2; Linforth 160s; eund., Trans. Am. Phil. Ass. 62, 1931, 5ss; Ziegler, Orpheus, RE XVIII 1 (1939) 1229, 3; Harding, Androtion and the Atthis, Oxford 1994, 180ss; Marcaccini, Prometheus 21, 1995, 251; Calame in: Laks–Most (edd.), Studies on the Derveni Papyrus, Oxford 1997, 79s; Bernabé, Ítaca 18, 2002, 64s || **3** ἄλλους Vossius | κατεψεῦσθαι Perizonius : καταψεύσασθαι **Vx** || **4** τωι] τε **V** a.c. | ἐγγραμματίας **V**

1029 cf. Lob. 234; Kern, Orph. 28; Rob., Heldens., I, 408; Linforth 36; Pavese in: de Miro–Godart–Sacconi (edd.), Atti e Memorie del II Congressso Internazionale di Micenologia, Roma 1996, I, 410 || **3** Orfeo **A** : Opheo **P** | Museo **PA** || **4** Persius **cod.**

Ars gramm. 3, 2 (VI 502, 15 Keil) heroicum metrum et Delphicum et theologicum nuncupatur, heroicum ab Homero, qui hoc metro heroum facta composuit, Delphicum ab Apolline Delphico, qui primus hoc usus est metro, theologicum ab Orpheo et Musaeo (*fr. 29 II*), qui, deorum sacerdotes cum essent, hymnos hoc metro cecinerunt ‖ (III) Marius Victor. Ars gramm. 1, 12 (VI 50, 23 Keil) in his enim (*sc.* dactylo et iambico) metrorum omnium fundamenta subsistunt. hoc quidam a Lino Apollinis antistite (*fr. 56 II*), alii ab Orpheo, non nulli ab Homero inventum putant ‖ (IV) Damagetus Anth. Pal. 7, 9, 6 (= n. 2, 1384 Gow-Page), plura invenies in fr. 1071 καὶ στίχον ἡρώιωι ζευκτὸν ἔτευξε ποδί (sc. Ὀρφεύς) ‖ (V) Tzetz. Ex. Il. p. 47, 19 Hermann ἡρωϊκὸν δὲ μετωνομάσθη, ἐπειδὴ τὰ ἡρώων πάθη καὶ ἀριστεύματα Ὀρφεύς τε καὶ ὁ Ὅμηρος ἐν τῶι τοιούτωι μέτρωι συνεγραφήκεσαν.

poeseos inventor (fr. 1030)

1030 T (T 123 K.)

(I) Pomp. Porphyr. in Hor. Artem Poet. 391 (357, 9 Meyer) <Orpheus> primus poeticen inlustravit et ob hoc dicitur lenisse tigres et leones, quia efferatos hominum animos placaverat carmine ‖ (II) Alcidam. Ulix. 24 (p. 32 Avezzù = Anth. Gr. App. Ep. sepulcr. 148, 4), plura invenies in fr. 1073 I εὑρὼν ... σοφίην ‖
(III) Nonn. Dion. 41, 372

ὅτι πρώτιστα νοήσει
Πὰν νόμιος σύριγγα, λύρην Ἑλικώνιος Ἑρμῆς,
...
Ὀρφεὺς μυστιπόλοιο θεηγόρα χεύματα μολπῆς.

quae sequuntur vid. in Lin. fr. 41

astrologus

cf. fr. 418 et carmina de re astrologica Orpheo tributa (frr. 718ss).

templorum conditor

cf. fr. 53s

Sangerm. *et Iulianus p. 49* ‖ **5** metrum quod et **ACp** ‖ **5-6** theoloicum **B** (*it.* **6**) ‖ **6** ex Homero **ABC** ‖ **8** ymnos **ABC** ‖ **13** ἡρώων **P**[1]
1030 1 Orpheus *add. Meyer* ‖ **2** quia *Meyer* : qui **M** ‖ **3** placuerat **M**

institutionis disciplinarum auctor (fr. 1031)

1031 T

SCHOL. Eur. Rh. 346 (II 335, 15 Schwartz) = Heraclid. fr. 159 Wehrli = Apollodor. FGrHist 244 F 146; quae praecedunt vid. in fr. 891 συνοικήσασα Οἰάγρωι (sc. Καλλιόπη) γεννᾶι Ὀρφέα τὸν πάντων μέγιστον ἀνθρώπων ἐν τῆι κιθαρωιδικῆι τέχνηι γενόμενον, πρὸς δὲ καὶ τῆς ἐγκυκλίου μαθήσεως ἐγχειρηματικώτατον.

mors (frr. 1032-1051)

Orphei mortem varie narraverunt scriptores: Orpheus interfectus est a Maenadibus a Baccho irato missis quia ille Solis cultor erat sec. Aeschylum, quem secuti sunt Eratosth. Catast., Apollodor. et al. (frr. 1033-1035); sec. alios auctores autem Orpheus a Thraciis mulieribus trucidatus est (frr. 1040-1044), a Venere missis sec. P.Berol. et Hygin. (fr. 1036); at alii alias causas referunt: propterea quod Orpheus amorem in pueros transtulit, sec. Phanocl. fr. 1 Powell, cf. Ovid. Met. 10, 83-85, Paus. 9, 30, 5, Servium in Georg. 4, 519 (III 357, 24 Thilo-Hagen), Hygin. Astr. 2, 7 (vid. Orph. frr. 1004; 1036 II; 1040); quia, maestus propter Eurydicis mortem, magnum odium contra omnes feminas nutriebat, sec. Conon. (fr. 1039), vel viros solos frequentabat, sec. Paus. (fr. 1040); sec. alios auct. ap. Conon. (fr. 1039) quia Orpheus prohibebat quominus mulieres orgiorum participes essent | mulieres Orphea decollaverunt (vid. fr. 1038) vel discerpserunt (cf. frr. 1035; 1039) | incertum utrum Maenades an mulieres iratae Orphea interficerent sec. Isocr. (fr. 1041) | fabulam symbolice interpretantur Himerius (fr. 1064) et Proclus (fr. 1045), negat Asclepiad. (fr. 1048)

icon. Orpheus a Maenadibus interfectus in vasis non invenitur et nusquam discerptus figuratur (de quo cf. Rob., Heldens., I, 404 adn. 3) | a mulieribus oppugnatus repraesentatur in vasis Atticis rub. fig. inde ab annis 490-480 a. C. n.; et. figuratur fidibus canens coram virorum coetu dum mulieres irrumpunt ; cf. Garezou, Orpheus, LIMC VII 1 (1994) nn. 28-63 p. 85 ss; de re cf. Graf in: Bremmer (ed.), Interpretations of Greek Mythology, London-Sydney 1987, 104 adn. 43 ubi, monente v. d. Burkert, ille de Thraciorum symposio virorum solum loquitur repraesentato in cuppa aurea regis Cotyis (regnantis inter annos 383-360) de qua cf. Gold der Thraker, Mainz 1979, 144ss, n. 292; vid. et. Lissarrague, Musica e

1031 2 συνοικήσασα Οἰάγρωι Hermann : συνοικήσάτα ἀγρῶι **A** || **4-5** ἐγχειρηματικώτατον Schwartz in app. crit. (-τερον in text.) : συγκεκροτημένον Haupt : συγκρεματικώτερον **A** || cf. Wehrli ad loc. 115, qui cum iunctura ἐγκυκλίου μαθήσεως comparat Horat. Ep. Pis. 391, Quintilian 1, 10, 9

storia 2, 1994, 269ss; Tsiafakis, in: Proceedings of the Eighth International Congress of Thracology, Thrace and the Aegean, Sofia 2002, II, 728s

pauci auctores aliter Orphei mortem narraverunt: fulmine ictum (fr. 1046) vel occisum propter coniurationem esse (fr. 1049) aut mortem sibi conscivisse (fr. 1047) | cf. et. Orph. Arg. 103ss καί μ' ‹ἀπ'› ἀλητείης τε καὶ ἐξ οἴστρου ἐσάωσε / μήτηρ ἡμετέρη καί ῥ' εἰς δόμον ἤγαγεν ἀμὸν / ὄφρα τέλος θανάτοιο κίχω μετὰ γήραϊ λυγρῶι

de Orphei morte cf. Gruppe, Orpheus, in: Roscher, Myth. Lex., 1897-1902, III, (= 1965) 1, 1165ss; Guthrie, Orpheus 32ss; Ziegler, Orpheus, RE XVIII 1 (1939) 1281ss; Graf in: Bremmer (ed.), Interpretations of Greek Mythology, London-Sydney 1987, 85ss; Santini, Giorn. Ital. Filol. 44, 1992, 173ss; Marcaccini, Prometheus 21, 1995, 241ss; Sorel, Orphée et l'orphisme, Paris 1995, 26ss

Orpheus mortuus (fr. 1032)

1032 T (T 127 K.)

ANTIP. SIDON. Anth. Pal. 7, 8 (= n. 10, 228-235 Gow-Page)

οὐκέτι θελγομένας, Ὀρφεῦ, δρύας, οὐκέτι πέτρας
ἄξεις, οὐ θηρῶν αὐτονόμους ἀγέλας·
οὐκέτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν,
οὐ νιφετῶν συρμούς, οὐ παταγεῦσαν ἅλα.
ὤλεο γάρ· σὲ δὲ πολλὰ κατωδύραντο θύγατρες
Μναμοσύνας, μάτηρ δ' ἔξοχα Καλλιόπα.
τί φθιμένοις στοναχεῦμεν ἐφ' υἱάσιν, ἁνίκ' ἀλαλκεῖν
τῶν παίδων Ἀίδην οὐδὲ θεοῖς δύναμις;

1032 vv.1-2 ἄξεις tradit Suda s. v. δρῦς (II 143, 27 Adler), v. 3 s. v. βρόμος (I 496, 22 A.), vv. 3-4 s. v. συρμός (IV 479, 26 A.), vv. 7-8 s. v. ἀλαλκεῖν (I 97, 19 A.) || tit. Ἀντιπάτρου Σιδωνίου εἰς Ὀρφέα τὸν ποιητὴν τὸν Οἰάγρου καὶ Καλλιόπης || **1** θελγομένας] 'the verb may but need not imply magical enchantment' Gow-Page | πέτραις Sud. || **2** αὐτονόμους] 'undomesticated' Gow-Page || **3** κοιμίσεις (κοιμίσαις **V**) Suda s. v. βρόμος || **4** παταγεύουσαν Suda **V** : παγεῦσαν Anth. Pal. **P** || **7** ἡνίκ' Sud. || **8** Ἀίδαν Stadtmüller | 'Calliope sufficiently covers θεοῖς ... and we need not consider whether A. conceived his father to be Apollo rather than Oeagrus' Gow-Page

Maenades a Baccho incitatae Orphea occidunt (frr. 1033-1035)

Aeschylus hanc fabulam finxit, ut vid.; cf. Linforth 14; West, Bull. Inst. Class. Stud. 30, 1983, 63ss; vid. et. Graf in: Bremmer (ed.), Interpretations of Greek Mythology, London-Sydney 1987, 85ss; Di Marco in: Masaracchia (ed.), Orfeo e l'orfismo, Roma 1993, 101ss; Lissarrague, Musica e storia 2, 1994, 84s

1033 T (T 113 K., 4 [B 2] C.)

(I) Eratosth. Catast. 24 (140 Rob.) cf. Catast. Fragmenta Vaticana 24, ed. Rehm, Ansbach 1899; quae praecedunt vid. in fr. 536 I ὅθεν ὁ Διόνυσος ὀργισθεὶς αὐτῶι ἔπεμψε τὰς Βασσάρας, ὥς φησιν Αἰσχύλος (cf. p. 138ss Radt) ... αἵτινες αὐτὸν διέσπασαν καὶ τὰ μέλη διέρριψαν χωρὶς ἕκαστον. sequitur fr. 1070 || (II) Schol. German. Arat. BP (84, 11 Breysig = 140 Rob.), *pergit fr. 536 II* Liber indignatus misit Bacchas, ut Aeschylus scribit, quae eum membratim discerpsere. *sequitur fr. 1072 I* || (III) Schol. German. Arat. SV (152, 1 Breysig), *pergit fr. 536 III* Liber indignatus misit Bacchas, ut Aeschylus scribit, quae eum membratim discerpserunt. *sequitur fr. 1072 II* || (IV) Schol. German. Arat. G (p. 152, 14 Breysig = 141 Rob.), *pergit fr. 536 IV* missis a Libero patre Bassaridibus membratim discerptus. *sequitur fr. 1072 III* || (V) Arat. Lat. p. 232a, 5 Maass, *pergit fr. 536 V* Liber pater iratus ei misit Bassares, ut ait Aeschilus carminum poeta, et dissipaverunt eum. *sequitur fr. 1072 IV* || (VI) Schol. Clem. Alex. Protr. 1, 2, 2 (183 Marc.) ὡσαύτως καὶ Ὀρφεὺς διασπαραχθεὶς ὑπὸ Ὀδρυσῶν ἄλλης ὑπόθεσις τραγωιδίας γεγένηται.

1033 (**I**) lectiones ex editione sua adhuc inedita mecum comiter communicavit Pàmias || **3** ἐπέπεμψε Valckenaer | Βάσαρας (Βάσσαρας Rehm : Βασσάρας Radt) Epit. Vatic. | Αἰσχύλος] vid. comm. ad fr. 536 || **4** αἵ διέσπασαν αὐτὸν Epit. Vatic. | ἔρριψαν Epit. Vatic. || **6** bahcas **AP** | Aeschyius **A** : Aescilus **P** | *cf. comm. ad fr. 536* || **7** discerpsere *Breysig* : *'num discerperent?' Robert* : discerpere **AP** || **8** Bacchas *Breysig* : vacchas **S** : bachas **V** | Aeschylus *Breysig* : Eschilus **S** : Eschylus **V** | scribit *om.* **S** | qui **S** || **9** menbratim **S** | discerpserunt *Breysig* : discerperent **SV** || **10** Bassaridibus *Breysig* : passeribus **GG**^{a}**G**^{b} || **11** descepitus *mut. ex* disceptus Ga : desceptus **G**$^{a1(?)}$: descerptus **G**$^{a2(?)}$ || **12** Hassares **B** | Esclus **B** || **14** διασπαραχθεὶς corr. **m** : διασπαραχεὶς **P** | ad Aesch. Βασσάρας vel Βασσαρίδας spectare coniecit Nauck, TGF^{2} 9s, cf. p. 139 Radt

1034 T (T 117 K.)

HYGIN. Astr. 2, 7 qui (*sc.* Orpheus) querens uxoris Eurydices mortem ad Inferos descendisse existimatur et ibi deorum progeniem suo carmine laudasse praeter Liberum Patrem; hunc enim oblivione ductus praetermisit, ut Oeneus in sacrificio Dianam. postea igitur Orpheus, ut complures dixerunt, in Olympo monte, qui Macedoniam dividit a Thracia, sed ut Eratosthenes *(cf. frr. 536 et 1033)* ait, in Pangaeo sedens, cum cantu delectaretur, dicitur ei Liber obiecisse Bacchas, quae corpus eius discerperent interfecti. sed alii dicunt, quod initia Liberi sit speculatus, id ei accidisse. *sequitur fr. 1074 V.*

1035 T (T 63 + 113 K.)

(I) APOLLODOR. Bibl. 1, 3, 2, pergit fr. 501 καὶ τέθαπται (sc. Ὀρφεύς) περὶ τὴν Πιερίαν διασπασθεὶς ὑπὸ τῶν μαινάδων ||

(II) OVID. Met. 11, 1-8

carmine dum tali silvas animosque ferarum
Threicius vates et saxa sequentia ducit,
ecce nurus Ciconum tectae lymphata ferinis
pectora velleribus tumuli de vertice cernunt
Orphea percussis sociantem carmina nervis.
e quibus una leves iactato crine per auras
'en' ait 'en, hic est nostri contemptor!' et hastam
vatis Apollinei vocalia misit in ora, etc. ||

(III) VERG. Georg. 4. 520-522, *pergit fr. 1003 I*

spretae Ciconum quo munere matres
inter sacra deum nocturnique orgia Bacchi
discerptum latos iuvenem sparsere per agros. *sequitur fr. 1054 III.*

1034 cf. Rob., Heldens., I, 406; Bremmer in: Borgeaud (ed.), Orphisme et Orphée, en l'honneur de Jean Rudhardt, Genève 1991, 16 || **1** Eurydicis (-ri- **LEB η**) **M** *a.c.* **RLAEB η** : Euridis **F** || **2** descendisse ad inferos **L** | progeniem deorum **F** || **3** propter **R** *a.c.* | Eoneus **R** *a.c.* : Oenus **P** *a.c.* : Oepeus **L** *a.c.* : Eneus **R** *p.c.* : Eneas **L** *p.c.* **AE** *a.c.* **B** *a.c.* || **4** igitur] dicitur **δ** || **5** quod **Y** | Macedonia **A** | dividit et a **F** | Thraecia **N** | Eratostenes **F** : Erasthothenes **W** : Arestotenes **B** || **6** Pangaeo *edd.* : Pancaeo (-ceo **γη**) **SNMR** *p.c.***Pγη** : Pancaheo **R**: Panchaeo **Lδ** | Liber ei **B** | Liberum **L** *a.c.* || **7** interfici **N** || **7-8** sit Liberi **R** || **8** et ob id ei **R** : ei id **Z**

1035 **(I)** vid. Scarpi ad loc. || **(II)** **2** ducit] traxit **FLN^3e** || **6** levem – auram **EFLN^3PUe** || **8** vocali – ore **M^1N^1S** || **(III)** vid. Thomas et Mynors, comm. ad loc.

Venus irata immittit Thracias mulieres (fr. 1036)

1036 T (T 121 K.)

(I) P. Berol. 13426, saec. II p. C. n., prim. ed. Schubart in: Gercke-Norden, Einleitung in die Altertumswissenschaft, Leipzig 1924, 42, denuo ed. Orth, Philol. Wochenschr. 47, 1927, 1469ss Ἀπ]όλλωνα θρη[σκ. . . . . κ]α[ὶ ἐ]πὶ πομπὴν [. . . . .]ς παραχθε[ί]η κατὰ μῆνιν [. . . . .] ψευσάμενος αὐτῆς τοὺς ἐφ[ημμένους π]όθους, ‹τ›ότε Ζεὺς μὲν ἐπ' Ὀρ[φέα τὴν δίαι]ταν ἀνέπεμψεν· ὁ δὲ οὐχ [ἑκὼν τὴν Ἀ]φροδίτην ἔλεψεν, ἐν μέρει [γὰρ ἑκατέ]ρα‹ι› τῶν θεῶν τὸν ἴσον τῆς ἀ[πολαύσε]ως χρόνον ἔδωκεν. ἀνθ' ὧν [δὲ μνησίκ]ακος ἡ θεὸς γενομένη μαι[νάδων ἐ]π' αὐτὸν χοροὺς παρώ‹ι›στρησεν, [αἳ φοβερ]ῶς τὰ μέλη σπαράσσουσαι εἰς τὰ [χεύμ]ατα τῆς ὑπ[ο]κ[ει]μένης θα[λάσσης ἐδίσ]κευον. sequitur fr. 1054 IX || (II) Hygin. Astr. 2, 7, *pergit fr. 976 V* nonnulli etiam dixerunt Venerem cum Proserpina ad iudicium Iovis venisse, cui earum Adonin concederet; quibus Calliopen ab Iove datam iudicem, quae Musa Orphei est mater; itaque iudicasse uti dimidiam partem anni earum unaquaeque possideret; Venerem autem indignatam, quod non sibi proprium concessisset, obiecisse omnibus quae in Thracia essent mulieribus, ut Orphea amore inductae ita sibi quaeque appeterent, ut membra eius discerperent. *sequitur fr. 1054 VII.*

1036 cf. Robert, Heldens., I, 406 adn. 1 || **3-4** 'es könnte von der Beziehung des O[rpheus] zu Apollon die Rede sein' ed. pr. || **4**]ς παραχθε[ί]η] Orth. : 'auf σπαράσσειν führt Orpheus: aber zu ἐπὶ πομπὴν paßt παράγειν besser' ed. pr. || **4-5** ψευσάμενος Orth : κατα]ψευσάμενος ed. pr. | ψευσάμενος αὐτῆς ... π]όθους] 'hätte dann irgend jemand, einer der Göttinnen, wahrscheinlich Aphrodite, fälschlich Liebe zu ihm nachgesagt' ed. pr. || **5** ἐφ[ημμένους suppl. Orth ἐφ' [. . . . . . . ed. pr. | π]όθους suppl. ed. pr. | ‹τ›ότε Wil. prob. Orth : ὅ τε ed. pr. || **5-6** Ὀρ[φέα τὴν δίαι]ταν suppl. Orth : Ὀρ[φέως δίαι]ταν ed. pr. || **6** [ἑκὼν Orth | τὴν Ἀ]φροδίτην ed. pr. | [γὰρ Orth : δ' ed. pr. || **7** ἑκατέ]ρα‹ι› scripsi : ἑκατέ]ρα ed. pr. | ἀ[πολαύσε]ως suppl. ed. pr. || **7-8** [δὲ μνησίκ]ακος suppl. Orth mon. Wil. :]ακος (fort. Θρ]ακὸς) ed. pr. in app. crit. || **8** μαι[νάδων ἐ]π' suppl. ed. pr. | παρώ‹ι›στρησεν scripsi : παρῴστρησεν ed. pr. || **9** [αἳ φοβερ]ῶς suppl. Orth : [αἳ Ὀρφέ]ως ed. pr. | [χεύμ]ατα suppl. Orth : [κύμ]ατα ed. pr. || **9** ὑπ[ο]κ[ει]μένης – **10** ἐδίσ]κευον suppl. ed. pr., cf. fr. 1054 IX ἐν τοῖς Ὀρφε[ίοις λόγοις ταῦτα λέγετ]αι || **11** Venerem *om.* **αL** *a.c.* **AEδ** : *scr. ante* dixerunt **F** | Proserpinam **L** *a.c.* : cum Proserpina **L** *p.c.* | venisset **RγB** || **12** quibus] cuius **M** *a.c.* | Calliope **A** || **12** quae – **13** iudicasse *om.* **L** *a.c.* || **13** est Orphei **Lη** | partim **Y** | anni *om.* **Z** | earum anni **P** | unaquaeque earum **E** || **14** autem] hoc **F** | proprium sibi **B** || **15** Thraecia **N** : Traci **R** *a.c.* : Tracia **R** *p.c.* | erant **R** | Orphei **R** | inducto **F** | **16** decerperent **L**

mulieres iratae Orphea occidunt (frr. 1037-1040)

de Orpheo a mulieribus caeso cf. et. Menaechm. ap. Schol. Pind. Py. 4, 313a (fr. 1044), Lucian. Sat. 8 διεσπάσαντο γὰρ ἂν αὐτὸν ... ὥσπερ τὸν Πενθέα αἱ Μαινάδες ἢ αἱ Θρᾶιτται τὸν Ὀρφέα, Philostr. Iun. Imag. 3, 6

1037 T (T 60 + 139 K., 4 [A 38] + 4 [A 43] C.)

(I) Plat. Sympos. 179d, plura invenies in fr. 983 καὶ ἐποίησαν τὸν θάνατον αὐτοῦ ὑπὸ γυναικῶν γενέσθαι || (II) Plat. Resp. 620a, plura invenies in fr. 1077 I μίσει τοῦ γυναικείου γένους διὰ τὸν ὑπ' ἐκείνων θάνατον.

1038 T (T 77 K.)

Phanocl. fr. 1, 11-14 (Powell, Coll. Alex. 106), quae praecedunt vid. in fr. 1004 I
τοῦ δ' ἀπὸ μὲν κεφαλὴν χαλκῶι τάμον, αὐτίκα δ' ὑπῆν.
εἰς ἅλα Θρηϊκίην ῥῖψαν ὁμοῦ χέλυϊ
ἥλωι καρτύνασαι, ἵν' ἐμφορέοιντο θαλάσσηι
ἄμφω ἅμα, γλαυκοῖς τεγγόμεναι ῥοθίοις. sequitur fr. 1054 I.

1039 T (T 115 K., 4 [B 26] C.)

Cono ap. Phot. Bibl. 186, 140a 31 (III 34 Henry = FGrHist 26 F 1, 45, pergit fr. 954 I τελευτᾶι δὲ διασπασαμένων αὐτὸν τῶν Θραικίων καὶ Μακεδόνων γυναικῶν, ὅτι οὐ μετεδίδου αὐταῖς τῶν ὀργίων, τάχα μὲν καὶ κατ' ἄλλας προφάσεις. φασὶ δ' οὖν αὐτὸν δυστυχήσαντα περὶ γυναῖκα πᾶν ἐχθῆραι τὸ γένος. ἐφοίτα μὲν οὖν τακταῖς ἡμέραις ὡπλισμένων πλῆθος Θραικῶν καὶ Μακεδόνων ἐν Λιβήθροις, εἰς οἴκημα ἓν συνερχόμενον μέγα τε καὶ πρὸς τελετὰς εὖ πεποιημένον. ὁπότε δ' ὀργιάζειν εἰσίασι, πρὸ τῶν πυλῶν ἀπετίθεσαν τὰ ὅπλα. ὃ αἱ γυναῖκες ἐπιτηρήσασαι καὶ τὰ ὅπλα ἁρπασάμεναι, ὑπ' ὀργῆς τῆς διὰ τὴν ἀτιμίαν τούς τε προσπίπτοντας κατειργάσαντο, καὶ τὸν Ὀρφέα κατὰ μέλη ἔρριψαν εἰς τὴν θάλασσαν σποράδην. sequitur fr. 1061.

1037 1-2 cf. Dover ad loc. || **3** cf. Euseb. Praep. Ev. 13, 16, 9
1038 cf. fr. 1004 et comm. ad loc. || **11** ἀπῆν **A**^{1} : αὐτὴν Gesner in mg. inde **A**^{2} (de quo cf. Alexander, A stylistic commentary on Phanocles, Amsterdam 1988, 55) | ὑπῆν] 'wereas the lyre ... was floating on the surface of the water, the head of Orpheus, which was nailed to the wooden lyre, "was under" ... the surface of the water' Alexander 57 || **12** Θρηϊκίηι Bergk, agn. Powell : at cf. Ψ 230 Θρηΐκιον πόντον
1039 vid. Rob., Heldens., I, 405 adn. 2; Graf in: Bremmer (ed.), Interpretations of Greek Mythology, London-Sydney 1987, 87 || **3** οὐ om. **A**^{1} || **5** ὡπλισμένον **M** || **6** ἓν om. **M** prob. Jac. || **9** διὰ τὴν om. **A**

1040 T (T 116 K.)

Paus. 9, 30, 5, pergit fr. 551 τὰς δὲ γυναῖκάς φασι τῶν Θραικῶν ἐπιβουλεύειν μὲν αὐτῶι θάνατον, ὅτι σφῶν τοὺς ἄνδρας ἀκολουθεῖν ἔπεισεν αὐτῶι πλανωμένωι, φόβωι δὲ τῶν ἀνδρῶν οὐ τολμᾶν· ὡς δὲ ἐνεφορήσαντο οἴνου, ἐξεργάζονται τὸ τόλμημα, καὶ τοῖς ἀνδράσιν ἀπὸ τούτου κατέστη μεθυσκομένους ἐς τὰς μάχας χωρεῖν. sequitur fr. 1046 III.

incertum utrum maenades an mulieres saevientes (fr. 1041)

1041 T (17 K. 4 [A 54] C.)

Isocr. Busir. 10, 39 Mathieu-Brémond, plura invenies in fr. 26 II Ὀρφεὺς δ' ὁ μάλιστα τούτων τῶν λόγων ἁψάμενος, διασπασθεὶς τὸν βίον ἐτελεύτησεν.

de loco ubi Orpheus mortuus est (frr. 1042-1044)

1042 T

Eur. Hypsipyl. ca.1570 (p. 221 Jouan-Van Looy = 119 Cockle) Ἠδωνίσι ... Πάγγαιον.

1040 cf. Rob., Heldens., 1, 405 adn. 1; Marcaccini, Prometheus 21, 1995, 246 || **3** οἶνον **β** || **4-5** μεθυσκομένους] 'this, of course, is just a slight rationalisation of a very archaic fighting technique, the "Kampfwut"', cf. Graf in: Bremmer (ed.), Interpretations of Greek Mythology, London-Sydney 1987, 88 cum bibl. in adn. 31 | cf. Paus. 9, 30, 7 (fr. 934 II) Μακεδόνων δὲ οἱ χώραν τὴν ὑπὸ τὸ ὄρος τὴν Πιερίαν ἔχοντες καὶ πόλιν Δῖον φασὶν ὑπὸ τῶν γυναικῶν γενέσθαι τὴν τελευτὴν ἐνταῦθα τῶι Ὀρφεῖ

1041 2 τούτων τῶν] τῶν τοιούτων cod. praeter **Γ** | διασπασθεὶς] Isocr. Aeschyli versionem (vid. fr. 1033) sequi videtur

1042 e schol. Ἠ]δωνίσι Θραικίαις et Πά]γγαιον ὄρος τῆς Θράικης | cf. fr. 536 | 'another possibility is a reference to Orpheus' death at the hand of the Bassarids on Mount Pangaeum' Cockle ad loc. p. 175 | cf. et. Ovid. Met. 11, 69 Edonias, Clitonym. ap. Ps.-Plut. De fluv. 3, 4 (FGrHist 292 F 3 = fr. 1063) ἐν τῶι Παγγαίωι ὄρει

1043 T

Ovid. Ibis 599s

diripiantque tuos insanis unguibus artus
Strymoniae matres, Orpheos esse ratae.

1044 T (T 114 K.)

Schol. Pind. Py. 4, 313a (II 140, 3 Drachm.), pergit fr. 899 II παρατίθεται δὲ καὶ χρησμόν τινα, ὅν φησι Μέναιχμον ἀναγράφειν ἐν τῶι Πυθικῶι (FGrHist 131 F 2). ἔχει δὲ οὕτως (Anth. Gr. App. Orac. Epigr. 76):

Πιέρες αἰνοπαθεῖς, στυγνὴν ἀποτείσετε λώβην
Ὀρφέ' ἀποκτείναντες Ἀπόλλωνος φίλον υἱόν. sequitur fr. 912 III.

Orphei mors symbolice explanata (fr. 1045)

vid. et. Himer. Or. 46, 18 (fr. 1064 II)

1045 T (T 119 K.)

(I) Procl. in Plat. Remp. I 174, 22 Kroll Ὀρφεὺς μυθολογεῖται τοιαῦτα ἄττα τραγικῶς παθεῖν διὰ τὴν ἐν μουσικῆι τελέαν ζωήν· σπαραχθεὶς γὰρ καὶ μερισθεὶς παντοίως τὸν τῆιδε βίον ἀπολιπεῖν, ἐπειδὴ μεριστῶς οἶμαι καὶ διηιρημένως αὐτοῦ μετέσχον οἱ τότε τῆς μουσικῆς καὶ ὅλην ἅμα καὶ παντελῆ τὴν ἐπιστήμην οὐ δεδύνηνται δέξασθαι. sequitur fr. 1058 I ‖ (II) Procl. in Plat. Remp. II 314, 24 ἀποχρῆσθαι μὲν τοίνυν ἔοικεν τῶι κατὰ τὸν Ὀρφέα μύθωι δηλοῦντι τὴν ἐξῃρημένην αὐτοῦ μουσικὴν ἀπὸ τῆς θηλυπρεποῦς καὶ ὄντως κεχαλασμένης – ἔνθεος γὰρ ἦν, εἰ καὶ μετὰ τὴν ἐκείνου τελευτὴν μεμερισμένως αὐτῆς μετέσχον (ὃ διὰ τῶν σπαραγμῶν οἱ μῦθοι δηλοῦσιν). sequitur fr. 1058 II.

1043 600 Orpheos *Heinse* : Orpheon **TGPp** : Orphean **V** | orpheonesque satae **O** ‖ vid. La Penna, comm. ad loc.

1044 2 ἀναγράψαι **GQ** ‖ **4** om. **G** | ἀποτείσετε Kern : ἀποτίσετε schol. | λώβαν **BE**

1045 cf. Restani, Musica e storia 2, 1994, 194 ‖ **7** μουσικὴν schol. : μετοικὴν **H** ‖ **9** μετέσχεν Usener

Orpheus fulmine ictus (fr. 1046)

cf. Ziegler, Orpheus, RE XVIII 1 (1939) 1282, qui hanc versionem recentioris aetatis et 'als Korrektur der herrschenden Sage von Leuten erfunden, die diese des wunderbaren Sängers und Lehrers göttlicher Weisheit unwürdig fanden' interpretatur et cum fabula de Asclepii morte comparat

1046 T (T 123 + 125 K.)

(I) ALCIDAM. Ulix. 24 (p. 32 Avezzù = 30 Muir = Anth. Gr. App. Epigr. sepulcr. 148, 1), plura invenies in fr. 1073 I Ὀρφέα ... / ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει || (II) DIOG. LAERT. 1, 5, pergit fr. 8 III τοῦτον δὲ ὁ μὲν μῦθος ὑπὸ γυναικῶν ἀπολέσθαι φησί· τὸ δὲ ἐν Δίωι τῆς Μακεδονίας ἐπίγραμμα κεραυνωθῆναι αὐτόν, λέγον οὕτως (Anth. Pal. 7, 617 = Lobo Argiv. Suppl. Hell. 508 Lloyd-Jones–Parsons)· ... Ὀρφέα ... / ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει. plura invenies in fr. 1073 III || (III) PAUS. 9, 30, 5, pergit fr. 1040 εἰσὶ δὲ οἵ φασι κεραυνωθέντι ὑπὸ τοῦ θεοῦ συμβῆναι τὴν τελευτὴν Ὀρφεῖ· κεραυνωθῆναι δὲ αὐτὸν τῶν λόγων ἕνεκα ὧν ἐδίδασκεν ἐν τοῖς μυστηρίοις οὐ πρότερον ἀκηκοότας ἀνθρώπους. sequitur fr. 999.

Orpheus mortem ipse sibi consciscens (fr. 1047)

cf. Ziegler, Orpheus, RE XVIII 1 (1939) 1283, qui hanc versionem 'rationalistische Umbildung der herrschenden Sage' putat

1047 T (T 120 K.)

PAUS. 9, 30, 6, plura invenies in fr. 999 ἄλλοις δὲ {προ} εἰρημένον ἐστὶν ὡς ... αὐτόχειρα αὐτὸν ὑπὸ λύπης αὐτοῦ γενέσθαι. sequitur fr. 1065 II.

1046 de Orpheo fulminato cf. Maas, Orph. 140 n. 24; Rob., Heldens., I, 406 adn. 2; Guthrie, Orpheus 32; Linforth, Trans. Am. Phil. Ass. 62, 1931, 7ss || **(I)** cf. Avezzù et Muir, comm. ad loc. || **2-3** Ζεὺς ψολόεντι βέλει **BuE** Ald., Reiske, Bekker, Sauppe, Blass, Kern, Colli (coll. Anth. Pal. 7, 617 [II]) : Ζεὺς (που add. **A** Radermacher) ψολόεντι κεραυνῶι (βαλών $\mathbf{Am_4}$) $\mathbf{A\Xi Am_4}^{γρ}$ || **4** φασὶ **F** || **6** ὑψημέδης **F** || **10** ἀκηκοώτας **FP**

1047 cf. Rob., Heldens., I, 403 adn. 6 || **1** {προ} del. Siebelis

dubitatur de fabula Orphei morientis (fr. 1048)

1048 T

Asclepiad. ap. Schol. Eur. Rhes. 895 (II 343, 11 Schw. = FGrHist 12 F 6b), vid. et. novas lect. ap. Cannatà Fera, Riv. Filol. Class. 115, 1987, 12ss, plura invenies in fr. 912 II οὐ μὴν τοιοῦτό γε πάθος ο . [. . . . .] . γενέσθαι.

aliae fabulae de Orphei morte (frr. 1049-1051)

1049 T (T 40 + 84 K., 4 [B 27] C.)

Strab. 7, fr. 10a Radt, plura invenies in fr. 554 τοὺς μὲν οὖν ἑκουσίως ἀποδέχεσθαι, τινὰς δ' ὑπιδομένους ἐπιβουλὴν καὶ βίαν ἐπισυστάντας διαφθεῖραι αὐτόν (sc. Ὀρφέα).

1050 T

Lucian. Pisc. 2 ΠΛΑΤΩΝ καὶ μὴν ἄριστον ἦν καθάπερ τινὰ Πενθέα ἢ Ὀρφέα 'λακιστὸν ἐν πέτραισιν εὑρέσθαι μόρον' (Trag. Adesp. fr. 291 Kannicht-Sn.), ἵνα ἂν καὶ τὸ μέρος αὐτοῦ ἕκαστος ἔχων ἀπηλλάττετο.

1051 T (T 35 K.)

Themist. Or. 16, 209 c (I 300, 1 Schenkl-Downey), pergit fr. 954 III ἀλλ' Ὀρφεὺς μέν, ὡς ἔοικε, θηρία κηλεῖν ἱκανὸς ἦν, ἀνθρώπων δὲ χαλεπότητα θέλγειν οὐκ εἶχεν, ἀλλ' ἢ διήλεγξαν αὐτοῦ τὴν μουσικὴν Θρᾷσσαι γυναῖκες, οὐχ ὅπως ἁλοῦσαι τοῖς μέλεσιν, ἀλλ' ἐξαγριωθεῖσαι προσέτι καὶ δράσασαι τὸν μελῳδὸν αὐτὸν ἅπερ καὶ ἔδρασαν. sequitur fr. 1079 II.

1048 3 ο[ἷον λέγεται περὶ αὐτὸν] Wil. spatio longius : ο‹ἷον λέγεται› Schw., sed vestig. non congr. | 'he may have meant that he was not slain by women, but it is impossible to be sure' Linforth 16 adn. 17

1049 vid. comm. ad fr. 554

1050 versus hinc affert Theodor. Prodr., Not. et Extr., Paris 1800, 553, 5

1051 3 post μουσικὴν add. ‹ἀσθενῆ (vel ἀτελῆ)› Reiske || **5** αὐτὸν edd. : αὐτὸν et ῶν suprascr. **AΠ** : αὐτῶν **v**

caput loquens (frr. 1052-1061)

solus Cono (fr. 1061) narrat Orphei caput sepultum esse; sec. plurimos auctores caput in Lesbum pervenit; Philostr. (frr. 1056 I, 1057, 1079) vero tradit caput oracula cecinisse donec Apollo id vetuisset (fr. 1057) | de re cf. Gruppe in: Roscher, Myth. Lex., 1897-2002, III 1, 1169ss; Deonna, Rev. Ét. Gr. 38, 1925, 44ss; Guthrie, Orpheus 35ss; Ziegler, Orpheus, RE XVIII 1 (1939) 1293ss; Graf in: Bremmer (ed.), Interpretations of Greek Mythology, London-Sydney 1987, 92ss; Nagy in: Edmunds (ed.), Approaches to Greek Myth, London 1990, 200ss; Sorel, Orphée et l'orphisme, Paris 1995, 29 ('chanter, pour un Grec, c'est se soumettre à la Mémoire'); Ogden, Greek and Roman Necromancy, Princeton-Oxford 2001, 202ss | Eliade, Shamanism, New York 1964, 391 et Dodds, The Greeks and the irrational, Berkeley-Los Angeles 1951, 147 putant haec propria eorum qui hodie "shamanes" vocantur : repugnavit Bremmer, The Early Greek Concepts of the Soul, Princeton 1983, 46s, cf. et. Jung, Gesammelte Werke, 11, Zürich 1963, 262ss

icon. cf. Schmidt, Ant. Kunst. 15, 1972, 128ss; Garezou, Orpheus, LIMC VII 1 (1994) 88 nn. 68ss | Orphei caput repraesentatur in calice in Fitzwilliam Mus. Cantabrig. servato (Beazley, ARV 1401 I = 70 Garezou), loquens coram iuvene scribente, Apolline adstante cum duabus Musis; Robert, Jahrb. Deutsch. Arch. Inst. 32, 1917, 146ss putavit picturam repraesentare Apollinem oraculo finem afferentem (cf. fr. 1057), probantibus Kern, Orpheus 9; Guthrie, Orpheus 36 : iure repugnaverunt Schmidt 131; Graf 94; potius Apollo iuvenem Orphei verba scribere iubet, at dubium utrum ea oracula (ut vol. Minervini, Bull. Archeol. Napol. n. s. 6, 1857, 33ss) an carmina (quod maluit Nilsson, Harv. Theol. Rev. 28, 1935, 193) sint; an ἐπωιδαί? cf. Eur. Alc. 965ss (fr. 812) οὐδέ τι φάρμακον / Θρῄσσαις ἐν σανίσιν, τὰς / Ὀρφεία κατέγραψεν / γῆρυς, Cycl. 646 (fr. 814) οἶδ' ἐπωιδὴν Ὀρφέως ἀγαθὴν πάνυ | caput Orphei loquens cum duabus Musis repraesentatur in hydria rub. fig. collect. Dunedin (Beazley, ARV 1174; Schöller, Darstellungen des Orpheus in der Antike, Freiburg 1969, 69; Schmidt 130; Garezou n. 69) et in duobus speculis Etruscis saec. IV a. C. n., quorum unum Chiusi (ubi ΥΡΦΕ sub capite Orphei scriptum est, vid. fr. 866) in Mus. Senensi servatur, alterum Parisiis (cf. Schöller 98 adn. 10 et 13; Schmidt 134), de quibus cf. Emmanuel-Rebuffat, Corpus Speculorum Etruscorum, France 1, Paris, Musée du Louvre, fasc. I, Roma 1988, 28ss; Camporeale, Purich, LIMC VII 1 (1994), 593s | in hydria rub. fig. c.a. 440 a. C. n. in Mus. Basil. servata (Garezou n. 68) figuratur caput in loco profundo, dum vir barbatus cum sertis et duabus funibus se inclinans capiti appropinquat Musis praesentibus; incertum quis barbatus ille sit; an Terpander? cf. Schmidt 128ss; vid. et. Graf 93s; Borgeaud (ed.), Orpheus, 1991, fig. 13-15 | servantur et. gemmae Italicae et amuleti saec. III a. C. n., in quibus repraesentantur caput loquens et iuvenis scribens, cf. Furtwängler, Die antiken Gemmen, Leipzig-Berlin 1900, III, 252ss, quamquam

incertum utrum caput Orphei sit an Etrusci numinis cui nomen Tages (cf. Herbig, JdI 49/50, 1944-1945, 113s; Schmidt 133s); cf. et. Lissarrague, Musica e storia 2, 1994, 86ss; Tsiafakis, in: Proceedings of the Eighth International Congress of Thracology, Thrace and the Aegean, Sofia 2002, II, 730s

1052 T (T 118 K.)

(I) LUCIAN. adv. indoct. 11 ὅτε τὸν Ὀρφέα διεσπάσαντο αἱ Θρᾶιτται, φασὶ τὴν κεφαλὴν αὐτοῦ σὺν τῆι λύραι εἰς τὸν Ἕβρον ἐμπεσοῦσαν ἐκβληθῆναι εἰς τὸν μέλανα κόλπον, καὶ ἐπιπλεῖν γε τὴν κεφαλὴν τῆι λύραι, τὴν μὲν ἄιδουσαν θρῆνόν τινα ἐπὶ τῶι Ὀρφεῖ, ὡς λόγος, τὴν λύραν δὲ αὐτὴν ὑπηχεῖν τῶν ἀνέμων ἐμπιπτόντων ταῖς χορδαῖς, καὶ οὕτω μετ' ὠιδῆς προσενεχθῆναι τῆι Λέσβωι, κἀκείνους ἀνελομένους τὴν μὲν κεφαλὴν καταθάψαι ἵναπερ νῦν τὸ Βακχεῖον αὐτοῖς ἐστι, τὴν λύραν δὲ ἀναθεῖναι εἰς τοῦ Ἀπόλλωνος τὸ ἱερόν, καὶ ἐπὶ πολύ γε σώζεσθαι αὐτήν. χρόνωι δὲ ὕστερον Νέανθον τὸν τοῦ Πιττακοῦ τοῦ τυράννου ταῦτα ὑπὲρ τῆς λύρας πυνθανόμενον, ὡς ἐκήλει μὲν θηρία καὶ φυτὰ καὶ λίθους, ἐμελώιδει δὲ καὶ μετὰ τὴν τοῦ Ὀρφέως συμφορὰν μηδενὸς ἁπτομένου, πρὸς ἔρωτα τοῦ κτήματος ἐμπεσεῖν καὶ διαφθείραντα τὸν ἱερέα μεγάλοις χρήμασιν πεῖσαι ὑποθέντα ἑτέραν ὁμοίαν λύραν δοῦναι αὐτῶι τὴν τοῦ Ὀρφέως. λαβόντα δὲ μεθ' ἡμέραν μὲν ἐν τῆι πόλει χρῆσθαι οὐκ ἀσφαλὲς οἴεσθαι εἶναι, νύκτωρ δὲ ὑπὸ κόλπου ἔχοντα μόνον προελθεῖν εἰς τὸ προάστειον καὶ προχειρισάμενον κρούειν καὶ συνταράττειν τὰς χορδὰς ἄτεχνον καὶ ἄμουσον νεανίσκον, ἐλπίζοντα μέλη τινὰ θεσπέσια ὑπηχήσειν τὴν λύραν ὑφ' ὧν πάντας καταθέλξειν καὶ κηλήσειν, καὶ ὅλως μακάριον ἔσεσθαι κληρονομήσαντα τῆς Ὀρφέως μουσικῆς· ἄχρι δὴ συνελθόντας τοὺς κύνας πρὸς τὸν ἦχον – πολλοὶ δὲ ἦσαν αὐτόθι – διασπάσασθαι αὐτόν, ὡς τοῦτο γοῦν ὅμοιον τῶι Ὀρφεῖ παθεῖν καὶ μόνους ἐφ' ἑαυτὸν συγκαλέσαι

1052 cf. Maass, Orph. 131, Rob., Heldens., I, 406; e Phanocl. fr. 1 (Orph. frr. 1004 I; 1038 et 1054); vid. et. Marc., Am. Journ. Phil. 100, 1979, 363s (= Studies in Greek Poetry, Atlanta 1991, 168s) || **(I-II) 3** τῆι κεφαλῆι τὴν λύραν **Ψ** || **4** Ὀρφείωι λόγωι γ**Ψ**¹ (μόρωι **Ψ**²) || **6-7** ἵναπερ νῦν τὸ Βακχεῖον αὐτοῖς ἐστι] i.e. Antissae templum sec. Buchholz, Methymna, Mainz 1975, 203; 209s: dub. Graf in: Bremmer (ed.), Interpretations of Greek Mythology, London-Sydney 1987, 92, cf. comm. ad fr. 1056 || **7** ἀναθῆναι **γ** | ἐς τὸ τοῦ Ἀπ. **Ψ** || **9-10** μὲν καὶ θηρία **Ω** || **11** πρὸς] εἰς Cobet || **12** ἑτέραν om. **Ω** || **14** ὑπὸ κόλπον **β** || **17** μακάριος – **18** κληρονομήσας **γβ** : corr. recc. ||

τοὺς κύνας. ὅτεπερ καὶ σαφέστατα ὤφθη ὡς οὐχ ἡ λύρα ‹ἡ› θέλγουσα ἦν, ἀλλὰ ἡ τέχνη καὶ ἡ ᾠδή, ἃ μόνα ἐξαίρετα τῶι Ὀρφεῖ παρὰ τῆς μητρὸς ὑπῆρχεν· ἡ λύρα δὲ ἄλλως κτῆμα ἦν, οὐδὲν ἄμεινον τῶν ἄλλων βαρβίτων ‖

(II) Schol. Lucian. 31, 12 (153, 7 Rabe) διασπάσασθαι — τῶι Ὀρφεῖ] ἐπεὶ κἀκεῖνος ὑπὸ τῶν Θραιττῶν διεσπάσθη. 153, 10 Ὀρφεῖ* παρὰ τῆς μητρός] Καλλιόπης γὰρ τῆς Μούσης μυθεύουσι γενέσθαι τοῦτον ‖

(III) Tzetz. Chil. 4, 282-290

Ὀρφεὺς ὁ τῆς Μενίππης παῖς, πατρὸς δὲ τοῦ Οἰάγρου,
ἔτι τελῶν μειράκιον, ὄρνις θηράσαι χρήιζων
ἦλθεν ὡς πρὸς ἀκρώρειαν, οὗπερ ἦν δράκων μέγας.
ὡς οὖν Ὀρφεὺς ἀφώρα μὲν πρὸς θήραν τῶν ὀρνίθων,
ὁ δράκων ὥρμα κατ' αὐτοῦ σπείρας συχνὰς ἑλίσσων.
ἐθάδες τούτωι κύνες δὲ δραμόντες βοῆι τούτου
καὶ συμβαλόντες τῶι θηρὶ ἀπέκτειναν ἐκεῖνον,
τὸν δὲ Ὀρφέα ῥύονται στοργῆι τῆι πρὸς ἐκεῖνον,
ὥσπερ αὐτὸς ἐν Λιθικοῖς (105ss) Ὀρφεύς που γράφει τοῦτο ‖

(IV) Tzetz. Chil. 13, 153-161

ὡς πρότερον ἐσπάραξαν αἱ Θρῆισσαι τὸν Ὀρφέα.
τὰς τελετὰς διδάσκοντα τοῖς κατ' αὐτὴν βαρβάροις,
καὶ κεφαλὴν ἀπέρριψαν εἰς ποταμὸν ἐκείνην
καὶ μουσικὴν τὴν θέλγουσαν καὶ θῆρας καὶ τοὺς λίθους,
ἃ κατασύρει ποταμὸς εἰς μέλανα τὸν πόντον.
μέλας δὲ πόντος λέγεται πέλαγος Μιτυλήνης.
ἡ μουσικὴ συμπλέουσα τῆι κεφαλῆι δ' Ὀρφέως
καὶ κινουμένη τὰς χορδὰς ὑπ' αὐληταῖς ἀνέμοις,
μέλος ὑπήχει γοερὸν κινοῦν εἰς θρηνωιδίας ‖

(V) Himer. Or. 26, 34 (125 Colonna) ὥσπερ δὴ Λέσβον τὴν νῆσον, περὶ ἣν | Αἰγαῖος κυμαίνων σχίζεται, ἄμουσον οὖσαν χρόνον τὸν ἔμπροσ[θεν ἡ Ὀρφέως προσενεχθεῖσα διὰ τῆς θαλάττης λύρα οὕτω μουσικὴν | εἰργάσατο, ὡς ἐπὶ πᾶσαν χυθῆναι τὴν ὑφ' ἡλίωι τῆς μουσι[κῆς ἐκείνης τὰ θαύματα.

1053 T

Lucian. de salt. 51 ἔχει καὶ Θράικη πολλὰ τῶι ὀρχησομένωι ἀναγκαῖα, τὸν Ὀρφέα, τὸν ἐκείνου σπαραγμὸν καὶ τὴν λάλον αὐτοῦ κεφαλὴν τὴν ἐπιπλέουσαν τῆι λύραι, καὶ τὸν Αἷμον καὶ τὴν Ῥοδόπην.

21 ‹ἡ› suppl. Halm ‖ **23** ἄλλων om. **Ψ** ‖ **(III) 283** τελῶν] ποτέ **w** | ὄρνεις **w** ‖ **284** ἦλθες superscr. -θεν **O** | ἦλθεν ὡς] ἀνῆλθε **w** ‖ **290** τοῦτο γράφει **D** ‖ **(IV) 154** τοῖς] ταῖς Leone | αὐταῖς **Ω** : καταυταῖς Kiessl.[a] ‖ **(V) 1** δὴ Elter : διὸ **Nc**

1053 1 ἔχει. καὶ **Γ** et fort. **Φ** ‖ **3** Αἷμον **ΕΦ** : spiritu caret **Γ**

1054 T (T 77 + 128 + 131 + 132 + 133 K.)

(I) Phanocl. fr. 1, 15-22 (Powell, Coll. Alex. 106), pergit fr. 1038

τὰς δ' ἱερῆι Λέσβωι πολιὴ ἐπέκελσε θάλασσα
    ἠχὴ δ' ὣς λιγυρῆς πόντον ἐπέσχε λύρης,
νήσους τ' αἰγιαλούς θ' ἁλιμυρέας, ἔνθα λίγειαν
    ἀνέρες Ὀρφείην ἐκτέρισαν κεφαλήν,
ἐν δὲ χέλυν τύμβωι λιγυρὴν θέσαν, ἣ καὶ ἀναύδους
    πέτρας καὶ Φόρκου στυγνὸν ἔπειθεν ὕδωρ.
ἐκ κείνου μολπαί τε καὶ ἱμερτὴ κιθαριστὺς
    νῆσον ἔχει, πασέων δ' ἐστὶν ἀοιδοτάτη. sequitur fr. 1004 I ||

(II) Anth. Pal. 7, 10 (= Anon. 31 Page)

Καλλιόπης Ὀρφῆα καὶ Οἰάγροιο θανόντα
    ἔκλαυσαν ξανθαὶ μυρία Βιστονίδες,
στικτοὺς δ' ἡιμάξαντο βραχίονας, ἀμφιμελαίνηι
    δευόμεναι σποδιῆι Θρηίκιον πλόκαμον.
καὶ δ' αὐταὶ στοναχεῦντι σὺν εὐφόρμιγγι Λυκείωι
    ἔρρηξαν Μοῦσαι δάκρυα Πιερίδες
μυρόμεναι τὸν ἀοιδόν· ἐπωδύραντο δὲ πέτραι
    καὶ δρύες, ἃς ἐρατῆι τὸ πρὶν ἔθελγε λύρηι ||

(III) Verg. Georg. 4, 523-527, *pergit fr. 1035 III*

tum quoque marmorea caput a cervice revulsum

1054 cf. Marc., Am. Journ. Phil. 100, 1979, 363 (= Studies in Greek Poetry, Atlanta 1991, 168): 'Vergil used part I of Phanocles' poem' et 'Hyginus is clearly summing up Phanocles', cf. comm. ad fr. 1004 || **(I) 15** post hunc vers. lac. statuit Dawe, frustra || **19** λιγυρὴν] γλυκερὴν Bergk : repugnavit Alexander, A stylistic commentary on Phanocles, Amsterdam 1988, 77s: 'the repetition of the epithet is a typical Hellenistic feature', cf. 'λιγυρῆς ... λίγειαν ... λιγυρήν represent the ceaseless melody – the lyre is still playing as it was placed in the grave' Hopkinson ad loc. | ἀναύδους] 'probably Phanocles is here referring to the infernal rocks past which the river Lethe flowed' Alexander 80 || **20** Φόρκου] 'an appellative, denoting a "harbour"' Alexander 82 | ἔπεισεν Bergk : trad. def. Lob. 865 || **(II) 2** ἔκλασαν **P**^{1} || **3** χίονας **P** a.c. | στικτοὺς δ' ἡιμάξαντο βραχίονας] cf. Phanocl. fr. 1, 27 (Powell, Coll. Alex. 106 = Orph. fr. 1004 I) ποινὰς δ' Ὀρφῆϊ κταμένωι στίζουσι γυναῖκας et comm. ad loc. | ἀμφὶ μελαίνηι **CPl** || **5** δ' om. **P** : add. post. Pl. || **(III) 523** tunc **R** ||

gurgite cum medio portans Oeagrius Hebrus
volveret, Eurydicen vox ipsa et frigida lingua,
a miseram Eurydicen! anima fugiente vocabat:
Eurydicen toto referebant flumine ripae ||

(IV) Ovid. Met. 11, 50-60

membra iacent diversa locis, caput, Hebre, lyramque
excipis: et (mirum!) medio dum labitur amne,
flebile nescio quid queritur lyra, flebile lingua
murmurat exanimis, respondent flebile ripae.
iamque mare invectae flumen populare relinquunt
et Methymnaeae potiuntur litore Lesbi:
hic ferus expositum peregrinis anguis harenis
os petit et sparsos stillanti rore capillos.
tandem Phoebus adest morsusque inferre parantem
arcet et in lapidem rictus serpentis apertos
congelat et patulos, ut erant, indurat hiatus. ||

(V) Stat. Silv. 2, 7, 98s

sic ripis ego murmurantis Hebri
non mutum caput Orpheos sequebar ||

(VI) Stat. Silv. 5, 3, 14-18

stant circum attonitae vatem et nil dulce sonantes
nec digitis nec voce deae. dux ipsa silenti
fulta caput cithara, qualis post Orphea raptum
astitit, Hebre, tibi cernens iam surda ferarum
agmina et immotos sublato carmine lucos ||

(VII) Hygin. Astr. 2, 7, pergit 1036 II cuius caput in mare de monte perlatum, fluctibus in insulam Lesbum est reiectum; quod ab his sublatum et sepulturae est mandatum. pro quo beneficio ad musicam artem ingeniosissimi existimantur esse || (VIII) Servius in Georg. 4, 522 (III 358, 6 Thilo-Hagen) caput a cervice revulsum] constat caput Orphei in Hebrum proiectum et fluctus in Lesbum insulam detulisse. Hebrus autem fluvius in Thracia est, qui ex fontibus Rhodopae montis

524 medius **F** || **525** vox – **526** Eurydicen *om.* **F** || **(IV) 53** *om.* **M** | respondent cordaque lingua **S** | ripae] silvae $\mathbf{N}^3$ || **54** invecta **P** || **55** Methymnaeae *e Plan.* -aei **A** || **56** expositus **Mv**: expositio **EFLN**^{2} *in ras.* **U** : expositis **P** | anguis *om.* $\mathbf{N}^1$ || **57** os petit] obstitit **A** | sparsus **LM** : sparso $\mathbf{E}^2\mathbf{FN}^2\mathbf{U}$: sparsis **P** | stillantes $\mathbf{EFN}^2\mathbf{U}$ | stillantior ore **S** | capillis **P** || *post v.* **57** *add.* lambit et hymniferos inhiat divellere vultus *in textu* **NSU**, *in marg. man. rec.* **W** : *om. cett.* : *del. Heinsius* : *add.* extemplo morsu (cedit *i.e.* coepit *m.* 2) laniare ferino *Leid. Voss. Q 61* || **60** congerit **M** || **(VI) 14** sonantes *Calderini* : sonantem **M** || **(VII-IX) 1** mare de fonte **AE** : mareden fonte **F** || **2** Lesbum *om.* **Z** | retectum **Z** *a.c.* | sepultura **R** *a.c.* **F** || **3** est *om.* **P** : esse **R** | quo pro γ | ingeniosissime **A** || **4-7** *ed. Fabricius* || **6** Trachia **V** | Rodope **V** : Rhodopes *Ursi-*

prolabitur ‖ (IX) P. Berol. 13426, saec. II p. C. n., prim. ed. Schubart in: Gercke-Norden, Einleitung in die Altertumswissenschaft, Leipzig 1924, 42, denuo ed. Orth, Philol. Wochenschr. 47, 1927, 1469ss, pergit fr. 1036 I ἱστ[ορεῖ]ται δ' οὐκ ἀμφι[σβητήτ]ως οὐδ' ὁ θάνατος διάφορό[ς ἐστιν. ὑπὸ δὲ τ]ῶν κυμάτων ἀπόσπαστος [ἡ κεφαλὴ τ]οῦ λοιποῦ σώματος κατὰ τὴ[ν τῆς λύρα]ς ἀνθυπή[χ]ησιν ἔνθρηνον [ἐλάλησ]ε μέλος. ὤ[ιχ]ετο τοῦ δαίμ[ονος ἄγοντος εἰς Μήθυμνα]ν. ἐν τοῖς Ὀρφε[ίοις λόγοις ταῦτα λέγετ]αι.

1055 T (T 129 K.)

Paus. 9, 30, 9, pergit fr. 1066 ἤκουσα δὲ καὶ ἄλλον ἐν Λαρίσηι λόγον, ὡς ἐν τῶι Ὀλύμπωι. πόλις οἰκοῖτο Λίβηθρα, ἧι ἐπὶ Μακεδονίας τέτραπται τὸ ὄρος, καὶ εἶναι οὐ πόρρω τῆς πόλεως τὸ τοῦ Ὀρφέως μνῆμα· ἀφικέσθαι δὲ τοῖς Λιβηθρίοις παρὰ τοῦ Διονύσου μάντευμα ἐκ Θράικης, ἐπειδὰν ἴδηι τὰ ὀστᾶ τοῦ Ὀρφέως ἥλιος, τηνικαῦτα ὑπὸ συὸς ἀπολεῖσθαι Λιβηθρίοις τὴν πόλιν. οἱ μὲν δι' οὐ πολλῆς φροντίδος ἐποιοῦντο τὸν χρησμόν, οὐδὲ ἄλλο τι θηρίον οὕτω μέγα καὶ ἄλκιμον ἔσεσθαι νομίζοντες ὡς ἑλεῖν σφισι τὴν πόλιν, συῒ δὲ θρασύτητος μετεῖναι μᾶλλον ἢ ἰσχύος. ἐπεὶ δὲ ἐδόκει τῶι θεῶι, συνέβαινέ σφισι τοιάδε. ποιμὴν περὶ μεσοῦσαν μάλιστα τὴν ἡμέραν ἐπικλίνων αὐτὸν πρὸς τοῦ Ὀρφέως τὸν τάφον, ὁ μὲν ἐκάθευδεν ὁ ποιμήν, ἐπήιει δέ οἱ καὶ καθεύδοντι ἔπη τε ἄιδειν τῶν Ὀρφέως καὶ μέγα καὶ ἡδὺ φωνεῖν. οἱ οὖν ἐγγύτατα νέμοντες ἢ καὶ ἀροῦντες ἕκαστοι τὰ ἔργα ἀπολείποντες ἠθροίζοντο ἐπὶ τοῦ ποιμένος τὴν ἐν τῶι ὕπνωι ὠιδήν· καί ποτε ὠθοῦντες ἀλλήλους καὶ ἐρίζοντες ὅστις ἐγγύτατα ἔσται τῶι ποιμένι ἀνατρέπουσι τὸν κίονα, καὶ κατεάγη τε ἀπ' αὐτοῦ πεσοῦσα ἡ θήκη καὶ εἶδεν ἥλιος ὅ τι

nus ‖ **6-7** manans perlabitur *Ursinus* ‖ **9** ἱστ[ορεῖ]ται suppl. ed. pr. ‖ **10** ἀμφι[σβητήτ]ως suppl. Orth (iam dub. ed. pr.) | διάφορό[ς ἐστιν. ὑπὸ suppl. Orth : διάφορό[ς. κατὰ ed. pr. | δὲ τ]ῶν suppl. ed. pr. ‖ **11** [ἡ κεφαλὴ suppl. Orth mon. Wil. : [ὁ κρὰς ed. pr. (quod Wil. 'in dem Stil dieses Papyrus als ganz unmöglich fühlt' Orth) | τ]οῦ suppl. ed. pr. ‖ **11-12** τὴ[ν τῆς λύρα]ς ἀνθυπή[χ]ησιν ed. pr. ‖ **12** ἔνθρηνον [ἐλάλησ]ε suppl. Orth : ἔνθρηνόν [τι ἀνιεὶ]ς ed. pr. | ὤ[ιχ]ετο suppl. ed. pr. ‖ **12-13** δαίμ[ονος ἄγοντος εἰς Μήθυμνα]ν suppl. Orth : δαιμ[ονίου . . . . .] . . [ ]ον ed. pr. (qui 'nämlich nach Methymna' scripsit in adn. ad ὤ[ιχ]ετο) ‖ **13** Ὀρφε[ίοις λόγοις ταῦτα λέγετ]αι suppl. Orth : Ὀρφέ[ως . . . . ἱστορεῖτ]αι ed. pr. (qui [γράμμασιν, ὑπομνήμασιν tempt.)

1055 quae Archelao regnante evenisse e Diod. 18, 16, 3 verisimile fit Rob., Heldens., I, 409 adn. 3 ‖ **2** Ὀλυμπίωι **FP** ‖ **4** (et ubique) Λείβη- Dind. ‖ **6** δι' Sylburg : δὴ **β** ‖ **8** συῒ δὲ Kuhn : οὐδὲ **β** ‖ **10** ἑαυτὸν **Vb** : αὐτὸν **β** : αὐτοῦ **Va** ‖ **11** ἔπη ἧιδεν οἱ **P** : ἔπη εἰ δέυοι **F** : ἐπεὶ οἱ δεύοι **VVa** : om. **Vb** ‖ **15** κατεάγη τε] κατεάγηται

ἦν τῶν ὀστῶν τοῦ Ὀρφέως λοιπόν. αὐτίκα δὲ ἐν τῆι ἐπερχομένηι νυκτὶ ὅ τε θεὸς κατέχει πολὺ ἐκ τοῦ οὐρανοῦ τὸ ὕδωρ καὶ ὁ ποταμὸς ὁ Σῦς – τῶν δὲ περὶ τὸν Ὄλυμπον χειμάρρων καὶ ὁ Σῦς ἐστι –, τότε οὖν οὗτος ὁ ποταμὸς κατέβαλε μὲν τὰ τείχη Λιβηθρίοις, θεῶν ‹δὲ› ἱερὰ καὶ οἴκους ἀνέτρεψεν ἀνθρώπων, ἀπέπνιξε δὲ τούς τε ἀνθρώπους καὶ τὰ ἐν τῆι πόλει ζῶια ὁμοίως {τὰ} πάντα. ἀπολομένων δὲ ἤδη Λιβηθρίων, οὕτως οἱ ἐν Δίωι Μακεδόνες κατά γε τὸν λόγον τοῦ Λαρισαίου ξένου ἐς τὴν ἑαυτῶν τὰ ὀστᾶ κομίζουσι τοῦ Ὀρφέως. sequitur fr. 531 II.

1056 T (T 134 K.)

(I) Philostr. Heroic. 28, 8 (37, 12 De Lannoy) Λέσβου δὲ ὀλίγον ἀπεχούσης τοῦ Ἰλίου, στέλλειν ἐς τὸ ἐκεῖ μαντεῖον τοὺς Ἕλληνας. ἔχρα δέ, οἶμαι, ἐξ Ὀρφέως· ἡ κεφαλὴ γὰρ μετὰ τὸ τῶν γυναικῶν ἔργον ἐς Λέσβον κατασχοῦσα, ῥῆγμα τῆς Λέσβου ὤικησε καὶ ἐν κοίληι τῆι γῆι ἐχρησμώιδει. ὅθεν ἐχρῶντό τε αὐτῆι τὰ μαντικὰ Λέσβιοί τε καὶ τὸ ἄλλο πᾶν Αἰολικὸν καὶ Ἴωνες Αἰολεῦσι πρόσοικοι, χρησμοὶ δὲ τοῦ μαντείου τούτου καὶ ἐς Βαβυλῶνα ἀνεπέμποντο. πολλὰ γὰρ καὶ ἐς τὸν ἄνω βασιλέα ἡ κεφαλὴ ᾖδε, Κύρωι τε τῶι ἀρχαίωι χρησμὸν ἐντεῦθεν ἐκδοθῆναι λέγεται· 'τὰ ἐμά, ὦ Κῦρε, σά'· καὶ ὁ μὲν οὕτως ἐγίνωσκεν, ὡς Ὀδρύσας τε καὶ τὴν Εὐρώπην καθέξων, ἐπειδὴ Ὀρφεύς ποτε, μετὰ τοῦ σοφοῦ καὶ δυνατὸς γενόμενος, ἀνά τε Ὀδρύσας ἴσχυσεν ἀνά τε Ἕλληνας ὁπόσοι τελεταῖς ἐθείαζον, ὁ δ' οἶμαι τὰ ἑαυτοῦ πείσεσθαι ἐδήλου τὸν Κῦρον. ἐλάσας γὰρ Κῦρος ὑπὲρ ποταμὸν Ἴστρον ἐπὶ Μασσαγέτας καὶ Ἰσσηδόνας (τὰ δὲ ἔθνη ταῦτα Σκύθαι), ἀπέθανέ τε ὑπὸ γυναικὸς ἣ τούτων ἦρχε τῶν βαρβάρων, καὶ ἀπέτεμεν ἡ γυνὴ τὴν Κύρου κεφαλήν, καθάπερ αἱ Θρᾶιτται τὴν Ὀρφέως. τοσαῦτα, ξένε, περὶ τοῦ μαντείου τούτου Πρωτεσίλεώ τε καὶ Λεσβίων ἤκουσα || (II) Philostr. Heroic. 33, 28 (44, 27 De Lannoy) πόλις Αἰολὶς Λυρνησσὸς ὠικεῖτο τειχήρης τὴν

F || **15-16** ὅ τι ἦν Porson : εἰς τὴν **β** || **19** ‹δὲ› suppl. Musurus || **21** {τὰ} del. Hitzig | ἀπολομένων Bekker : ἀπολλυμένων **β** || **22** Λαρεισαίου **F**

1056 2 στέλλειν Reiske, Valckenaer, Kayser : ἔστελλον codd. | μαντεῖον] 'both oracles are fictitious ... we should locate the oracle in the Baccheion of Antissa or rather ... in a temple of this city (i.e. Methymna)' Graf in: Bremmer (ed.), Interpretations of Greek Mythology, London-Sydney 1987, 93 cum bibl.; vid. et. Lizcano Rejano, Emerita 71, 2003, 55s || **3** ἐς om. **ε** || **4** ὤικισε **ε** || **5** τε[1]] τι **A** : τότε **H** γρ. **KO** | ξύμπαν **Aχl**[blit] || **9** ἐγίγνωσκεν **FAΦPST** || **10** ποτε] τέ ποτε **HKY** (**H**[m] non item) || **13** ἐπιβὰς σαγέτας **Π** : ἐπιβὰς Μασσαγέτας **H** γρ. **KΛ** : Μασσαγέτας ἔπι **ΓIP** : εἰς Μασσαγέτας **Φ** | τε καὶ **Aχ** || **16** τούτου om. **KΛ** : τοῦ **AKΛ** || **17** Αἰολὶς om.

φύσιν καὶ οὐδὲ ἀτείχιστος, ἧι φασι τὸν Ὀρφέως προσενεχθῆναι λύραν καὶ δοῦναί τινα ἠχὴν ταῖς πέτραις, καὶ μεμούσωται ἔτι καὶ νῦν τῆς Λυρνησσοῦ τὰ περὶ τὴν θάλατταν ὑπ' ὠιδῆς τῶν πετρῶν.

1057 T

PHILOSTR. Vit. Apoll. 4, 14, pergit fr. 1079 φασὶ δὲ ἐνταῦθά ποτε (sc. ἐν τῆι Λέσβωι) τὸν Ὀρφέα μαντικῆι χαίρειν, ἔστε τὸν Ἀπόλλω ἐπιμεμελῆσθαι αὐτόν. ἐπειδὴ γὰρ μήτε ἐς Γρύνειον ἐφοίτων ἔτι ὑπὲρ χρησμῶν ἄνθρωποι μήτε ἐς Κλάρον μήτ' ἔνθα ὁ τρίπους ὁ Ἀπολλώνειος, Ὀρφεὺς δὲ ἔχρα μόνος ἄρτι ἐκ Θράικης ἡ κεφαλὴ ἥκουσα, ἐφίσταταί οἱ χρησμωιδοῦντι ὁ θεὸς καὶ 'πέπαυσο' ἔφη 'τῶν ἐμῶν, καὶ γὰρ δὴ ἄιδοντά σε ἱκανῶς ἤνεγκα'.

1058 T (T 119 K.)

(I) PROCL. in Plat. Remp. I 174, 27 Kroll, pergit fr. 1045 I τὸ δ' οὖν ἀκρότατον αὐτῆς μέρος καὶ πρώτιστον οἱ τὴν Λέσβον οἰκοῦντες παρεδέξαντο· καί που διὰ τοῦτο καὶ τὴν κεφαλὴν ὁ μῦθος τὴν ἐκείνου σπαραχθέντος εἰς Λέσβον ἐξενεχθῆναί φησιν. ἀλλ' Ὀρφεὺς μὲν ἅτε τῶν Διονύσου τελετῶν ἡγεμὼν γενόμενος τὰ ὅμοια παθεῖν ὑπὸ τῶν μύθων εἴρηται τῶι σφετέρωι θεῶι (καὶ γὰρ ὁ σπαραγμὸς τῶν Διονυσιακῶν ἕν ἐστιν συνθημάτων), Ὅμηρος δὲ κτλ ‖ (II) PROCL. in Plat. Remp. II 315, 2, pergit fr. 1045 II καὶ τὸ κεφάλαιον αὐτῆς ἡ Λέσβος ὑπεδέξατο (τοῦτο ‹ὃ› δὴ κεφαλὴν Ὀρφέως προσειρήκασιν), ὅθεν καὶ ὄνομα ἔσχεν ἡ Λεσβία Μοῦσα καὶ τὸ 'μετὰ Λέσβιον ὠιδὸν' εἰς παροιμίαν ἐξενίκησεν.

F | καὶ τειχήρης **E** ‖ **18** οὐδὲ] οὐδ' ἄλλως 'vel simile quid' dub. Eitrem ‖ **19** ἠχὼ **H**[i]**KΛYI**[b] ‖ **20** θάλασσαν **Fα** ‖ **icon.** de Orphei capitis imagine in calice Cantabrigensi servato vid. introd. ad frr. 1052-1061

1057 6 δὴ ‹καὶ› Kayser | cf. Lizcano Rejano, Emerita 71, 2003, 56

1058 cf. Linforth 229 ‖ **2** που ex τοι **m**[2] ‖ **8** τοῦτο ‹ὃ› δὴ supplendum e schol. : τοῦτο !η leg. Kroll : τοῦτο δὴ Mai : τοῦτο καὶ **H**[b] (καὶ om. **H**[a]) ‖ **9** μετὰ Λέσβιον ὠιδὸν] cf. Aristot. fr. 545 Rose

1059 T

LIBAN. Declam. 2, 30 (V 141, 20 Foerster) οὐδὲ μετὰ τὸν θάνατον ἡ μουσικὴ Ὀρφέα κατέλιπεν. ἀλλὰ κἀκεῖνον μὲν διέσπασαν αἱ Θρᾶιτται γυναῖκες, ὥσπερ οἱ συκοφάνται Σωκράτην, ὁ δὲ καὶ ἐσπασμένος ἔτι ᾖιδεν. Ὀρφέως ἡ κεφαλὴ διὰ τοῦ ποταμοῦ κατέβαινε τοῦ Στρυμόνος τῶν ἑαυτῆς μελῶν μνημονεύουσα.

1060 T

SCHOL. Aesch. Pers. 885 (240 Daehnhardt) Λέσβος ... μεταποιουμένη τῆς Ὀρφέως κεφαλῆς. ἐκεῖ γάρ φασιν μετὰ θάνατον αὐτὴν λαλοῦσαν προσενεχθῆναι· τοῦτο δὲ ἐμυθεύθη διὰ τὸ ἀρίστους ἐκεῖ καὶ μετὰ Ὀρφέα γενέσθαι ἄνδρας λογίους, ὧν ἦν καὶ Ἀρίων ὁ Μηθυμναῖος καὶ Πιττακὸς καὶ ὁ ποιητὴς Ἀλκαῖος καὶ ἡ Σαπφώ, θαυμαστόν τι, φασί, γυναικὸς σχῆμα· πρὸς ἣν οὐδεμία γυνὴ ἐφάμιλλος εἰς ποίησιν ἦν.

1061 T (T 115 K.)

CONO ap. Phot. Bibl. 186, 140b 2 (III 34 Henry = FGrHist 26 F 1, 45), pergit fr. 1039 λοιμῶι δὲ τῆς χώρας, ὅτι μὴ ἀπῃτήθησαν δίκην αἱ γυναῖκες, κακουμένης, δεόμενοι λωφῆσαι τὸ δεινόν, ἔλαβον χρησμὸν τὴν κεφαλὴν τὴν Ὀρφέως ἣν ἀνευρόντες θάψωσι, τυχεῖν ἀπαλλαγῆς. καὶ μόλις αὐτὴν περὶ τὰς ἐκβολὰς τοῦ Μέλητος δι' ἁλιέως ἀνεῦρον ποταμοῦ, καὶ τότε ἄιδουσαν καὶ μηδὲν παθοῦσαν ὑπὸ τῆς θαλάσσης, μηδέ τι ἄλλο τῶν ὅσα κῆρες ἀνθρώπιναι νεκρῶν αἴσχη φέρουσιν, ἀλλ' ἐπακμάζουσαν αὐτὴν καὶ ζωϊκῶι καὶ τότε αἵματι μετὰ πολὺν χρόνον ἐπανθοῦσαν. sequitur fr. 1080.

1059 cf. Restani, Musica e storia 32, 1994, 194 ‖ **1** τὸν om. **Ma** ‖ **2** Θράττιαι **B** : Θρακίαι **Ma** ‖ **4** ἡ κεφαλὴ **Ma** : ἡ κεφα in ras. **m**[2] | κατέβαινεν **Ma**
1060 2 φασιν Dind. : φησιν **O** ‖ **3** Ὀρφέα Daehnhardt : -έως cod. ‖ **4** Πιττανὸς **O** ‖ **5** ἀλϊαῖος (sic) **O** | τι Dind. : τινα **O** | χρῆμα **O** Dind. ‖ **6** οὐδὲ α΄ **O**
1061 4 ἣν **AM** | ἂν εὑρόντες **M** ‖ **7** καὶ τότε om. **M** ‖ **8** αἵματι om. **A**

de Orphei cum Christi morte comparata (fr. 1062)

1062 T

(I) Cels. ap. Origen. c. Cels. 7, 53 (= Cels. p. 189 Bader) Ὀρφέα εἴχετε, ἄνδρα ὁμολογουμένως ὁσίωι χρησάμενον πνεύματι καὶ αὐτὸν βιαίως ἀποθανόντα ‖ (II) Origen. c. Cels. 7, 54 τί δὲ καὶ θαυμάσας Ὀρφέως ὁμολογουμένως φησὶν (sc. ὁ Κέλσος) αὐτὸν ὁσίωι χρησάμενον πνεύματι καλῶς βεβιωκέναι; θαυμάζω δὲ εἰ μὴ καὶ Κέλσος διὰ μὲν τὴν πρὸς ἡμᾶς φιλονεικίαν, καὶ ἵνα Ἰησοῦν ἐξευτελίσηι νῦν ὑμνεῖ Ὀρφέα, ὅτε δ' ἐνετύγχανεν αὐτοῦ τοῖς ὡς περὶ θεῶν ἀσεβέσι μύθοις, οὐκ ἀπεστρέφετο τὰ ποιήματα ὡς μᾶλλον καὶ τῶν Ὁμήρου ἄξια ἐκβάλλεσθαι τῆς καλῆς πολιτείας· καὶ γὰρ πολλῶι χείρονα περὶ τῶν νομιζομένων εἶπε θεῶν Ὀρφεὺς ἢ Ὅμηρος.

prodigia post mortem (frr. 1063-1069)

1063 T (T 122 K.)

Ps.-Plut. De fluv. 3, 4 (288, 3 Bernardakis) γεννᾶται δὲ καὶ ἐν τῶι Παγγαίωι ὄρει βοτάνη κιθάρα καλουμένη διὰ ταύτην τὴν αἰτίαν. ‹αἱ› διασπαράξασαι τὸν Ὀρφέα τὰ μέλη τοῦ προειρημένου εἰς ποταμὸν ἔβαλον Ἕβρον· καὶ ἡ μὲν κεφαλὴ τοῦ θνητοῦ κατὰ πρόνοιαν θεῶν εἰς δράκοντα μετέβαλε τὴν μορφὴν τοῦ σώματος, ἡ δὲ λύρα κατηστερίσθη κατὰ προαίρεσιν Ἀπόλλωνος· ἐκ δὲ τοῦ ῥεύσαντος αἵματος ἀνεφάνη βοτάνη κιθάρα καλουμένη. τῶν δὲ Διονυσίων τελουμένων αὕτη κιθάρας ἀναδίδωσιν ἦχον· οἱ δ' ἐγχώριοι νεβρίδας περιβεβλημένοι καὶ θύρσους κρατοῦντες ὕμνον ἄιδουσιν· 'μὴ τότε φρονήσηις, ὅταν ἔσηι μάτην φρονῶν'· καθὼς ἱστορεῖ Κλειτώνυμος ἐν τῶι γ´ τῶν Τραγικῶν (FGrHist 292 F 3).

1062 7 καὶ Koetschau : ἢ **A** : om. cet.

1063 cf. Linforth 228s; Jac., comm. ad loc.; Molina, Orfeo y la mitología de la música, Diss. Madrid 1998, 489 ‖ **2** post αἰτίαν lac. ind. Jac. : αἱ add. Wyttenbach ‖ **4** θνητοῦ] ποιητοῦ? Jac. | post μετέβαλε lac. stat. Duebner ‖ **5** τοῦ σώματος] τοῦ σχήματος Wyttenbach : post μέλη (2) transp. Müller | κατηστερίσθη Wyttenbach : κατεστηρίχθη cod. ‖ **8** θύρσους – ἄιδουσιν: Salmasius : θύρσους ὕμ. ἄιδουσιν. κρατοῦντες **P** ‖ **8-9** μὴ τότε φρονήσηις Haupt : καὶ τότε φρονήσεις Salmasius : καὶ τότε φρονήσει **P** ‖ **9** ἔσηι μάτην Salmasius : εσηματην **P** ‖ **10** Θραικικῶν Reines. : dub. Jac. ad loc.

1064 T

(I) LIBAN. Declam. 1, 182 (V 119, 13 Foerster) Λειβήθριοι μετὰ τὸν Ὀρφέως φόνον δι' ἀμουσίας ἔδοσαν δίκην καὶ κατέχεται τὸ χωρίον ἀπαιδευσίαι συχνῆι || (II) HIMER. Or. 46, 18 (185 Colonna) Λειβήθριοι μὲν οὖν Παγγαίου πρόσοικοι Ὀρφέα τὸν Καλλιόπης τὸν Θράκιον, πρὶν μὲν δημοσιεύειν εἰς αὐτοὺς τὴν ὠιδήν, ἣν ἤδη παρὰ τῆς μητρὸς τῆς Μούσης μαθὼν ἦν, ἐθαύμαζόν τε καὶ συνήδοντο· ἐπειδὴ δὲ τῆς λύρας ἥψατο καὶ προσῆισέ τι μέλος ἔνθεον, φθόνωι νικηθέντες οἱ δείλαιοι, γυναικείαν ὕβριν ἐπ' αὐτόν τε καὶ τὰ μέλη τῆς ὠιδῆς τολμήσαντες γυναῖκες ὕστερον ὑπὸ τῶν μύθων ἐγένοντο. ... ἀλλ' οὔτε ἡ μήτηρ ἠμέλει μετὰ τὴν λύραν Ὀρφέως, οὔτε τοῦ Φρυγὸς ὁ Ἀπόλλων· ἀλλὰ Λειβήθριοι μὲν ἀντὶ τῆς Ὀρφέως λύρας, ἣν ἀτιμάζειν εἵλοντο, μανίαν τε καὶ ἀμουσίαν καὶ σιωπὴν ἠλλάξαντο· καὶ φεύγει μὲν ἐκείνους τὸ μέλος, εἰς δὲ τὴν ἐρημίαν ἔρχεται καὶ πείθει δρῦς τε καὶ πέτρας καὶ ἀγρονόμους ὄρνιθας καὶ μικρόν τι ποιμένων σύστημα, οἷς μᾶλλον ἔχαιρεν ὀλίγα φθεγγομένοις Ὀρφεύς, ἢ τῆι Λειβηθρίων φωνῆι, ὅτι μουσικοί τινες ὄντες καὶ ἡσυχῆ τοῦ μέλους ἀκούοντες λιγυρὸν ἀντεφθέγγοντο καὶ αὐτοὶ τῆι φόρμιγγι.

1065 T (T 130 K.)

(I) ANTIG. CARYST. Hist. Mir. 5 (34 Giannini) ὁ δὲ Μυρσίλος, ὁ τὰ Λεσβιακὰ συγγεγραφώς (FGrHist 477 F 2), φησὶν τῆς Ἀντισσαίας, ἐν ὧι τόπωι μυθολογεῖται καὶ δείκνυται δὲ ὁ τάφος ὑπὸ τῶν ἐγχωρίων τῆς τοῦ Ὀρφέως κεφαλῆς, τὰς ἀηδόνας εἶναι εὐφωνοτέρας τῶν ἄλλων || (II) PAUS. 9, 30, 6, pergit fr. 999 (cf. 1047) λέγουσι δὲ οἱ Θρᾶικες, ὅσαι τῶν ἀηδόνων ἔχουσι νεοσσιὰς ἐπὶ τῶι τάφωι τοῦ Ὀρφέως, ταύτας ἥδιον καὶ μεῖζόν τι ἄιδειν. sequitur fr. 934 II.

1064 1 Λιβίθριοι (ει supra Λι scriptum) **A** : Λειβέθριοι **Ma** : Λιβέθριοι Reiske : Λειβήθριον Morell | οἳ post Λειβήθριοι add. Rogge, mon. Jacobs || **2** δι' del. Jacobs | ἔδοκεν Morell : γρ. ἔδωκαν in mg. || **4** Ὀρφέως **Nc** || **6** προσῆισέ τι **Nc** (coniecerat Reiske) : προσῆγέ τι **R** || **8** τολμήσαντες **Nc** (restituerat Duebner) : το.... **R** (τω **r**) : τωθάσαντες rest. Wernsdorff | ἐπὶ τὸν μῦθον **Nc**

1065 cf. Ziegler, Orpheus, RE XVIII 1 (1939) 1293ss; Jac. ad loc.; Graf in: Bremmer (ed.), Interpretations of Greek Mythology, London-Sydney 1987, 92 | vid. fr. 1067 || **2** 'post μυθολογεῖται lac. fort. statuenda' Giannini : '‹ἡ ἄφιξις› o.ä.?' Jac. || **5** ὅσαι] οἱ **β** || **6** ἡδεῖον **β** | ἄγειν **β**

1066 T

Paus. 9, 30, 8, **pergit fr. 934 II** ῥεῖ δὲ καὶ ποταμὸς Ἑλικών· ἄχρι σταδίων ἑβδομήκοντα πέντε προελθόντι τὸ ῥεῦμα ἀφανίζεται τὸ ἀπὸ τούτου κατὰ τῆς γῆς· διαλιπὸν δὲ μάλιστα δύο καὶ εἴκοσι στάδια ἄνεισι τὸ ὕδωρ αὖθις, καὶ ὄνομα Βαφύρας ἀντὶ Ἑλικῶνος λαβὼν κάτεισιν ἐς θάλασσαν ναυσίπορος. τοῦτον οἱ Διάσται τὸν ποταμὸν ἐπιρρεῖν διὰ παντὸς τῆι γῆι τὰ ἐξ ἀρχῆς φασι· τὰς γυναῖκας δὲ αἳ τὸν Ὀρφέα ἀπέκτειναν ἐναπονίψασθαί οἱ θελῆσαι τὸ αἷμα, καταδῦναί τε ἐπὶ τούτωι τὸν ποταμὸν ἐς τὴν γῆν, ἵνα δὴ μὴ τοῦ φόνου καθάρσια τὸ ὕδωρ παράσχηται. **sequitur fr. 1055.**

1067 T (T 135 K.)

Aristid. Or. 24, 55 Keil ἄνδρες Λέσβιοι, ποῖ προήχθητε; οἳ φατὲ μὲν τὴν νῆσον ἅπασαν ὑμῖν εἶναι μουσικὴν καὶ τούτου τὴν Ὀρφέως κεφαλὴν αἰτιᾶσθε, αὐτοὶ δὲ οὐκ αἰσχύνεσθαι οὕτως ἀμούσως διακείμενοι;

1068 T

(I) Dio Chrys. 32, 63 ἔχω δὲ καὶ ἄλλον εἰπεῖν λόγον ἀνθρώπου Φρυγὸς ἀκούσας, Αἰσώπου συγγενοῦς, δεῦρο ἐπιδημήσαντος, ὃν εἰς Ὀρφέα καὶ ὑμᾶς ἔλεγεν. ... ἔφη τοίνυν ἐκεῖνος περί τε Θράικην καὶ Μακεδονίαν τὸν Ὀρφέα μελωιδεῖν, καθάπερ εἴρηται, κἀκεῖ τὰ ζῶια προσιέναι αὐτῶι, πολύ τι πλῆθος οἶμαι {τῶν} παντοίων θηρίων. πλεῖστα δὲ ἐν αὐτοῖς εἶναι τούς τε ὄρνιθας καὶ τὰ πρόβατα. ... 64 ... ζῶντος μὲν οὖν Ὀρφέως συνέπεσθαι αὐτῶι πανταχόθεν ἀκούοντα {αὐτοῦ} ὁμοῦ καὶ νεμόμενα· καὶ γὰρ ἐκεῖνον ἔν τε τοῖς ὄρεσι καὶ περὶ τὰς νάπας τὰ πολλὰ διατρίβειν· ἀποθανόντος δὲ ἐρημωθέντα ὀδύρεσθαι καὶ χαλεπῶς φέρειν· ὥστε τὴν μητέρα αὐτοῦ Καλλιόπην διὰ τὴν πρὸς τὸν υἱὸν εὔνοιαν καὶ φιλίαν αἰτησαμένην παρὰ Διὸς τὰ σώματα αὐτῶν μεταβαλεῖν εἰς ἀνθρώπων τύπον, τὰς μέντοι ψυχὰς διαμένειν, οἷαι πρότερον ἦσαν. χαλεπὸν οὖν ἤδη ἐστὶ τὸ λειπόμενον τοῦ λόγου, καὶ δέδοικα ‹πρὸς› ὑμᾶς σαφῶς αὐτὸ εἰπεῖν. ἔλεγε γὰρ ἐξ ἐκείνων γένος

1066 1 Ἑλικῶνι **β** ‖ **3** διαλεῖπον **β** ‖ **4** Βαφυρὰς **FP** : Καφυρᾶς **Pa** : Βαθύρας **Va** ‖ **5** Δίασται **β** : Διάται **Pa** : Δίαται **Vb** : Διασταὶ Siebelis (at Διάσται et. Steph. Byz.)

1067 2 ὑμῖν ἅπασαν **D** ‖ **3** δ' **SD**

1068 sunt facetiae aetiologicae a Dione fictae ‖ **4** 'scribendum ‹καὶ› καθάπερ' Arnim ‖ **5** τῶν secl. Arnim | παντοίων Arnim : πάντων libri ‖ **7** αὐτοῦ secl. Arnim ‖ **8** ἐν τοῖς ὄρεσι τε **T** ‖ **9** ὥστε suspectum sec. Arnim ‖ **12** λοιπόμενον **B** ‖ **13** ‹πρὸς›

τι φῦναι Μακεδόνων, καὶ τοῦτο αὖθις ὕστερον μετὰ Ἀλεξάνδρου διαβὰν ἐνθάδε οἰκῆσαι. καὶ διὰ τοῦτο δὴ τὸν τῶν Ἀλεξανδρέων δῆμον ἄγεσθαι μὲν ὑπὸ ὠιδῆς, ὡς οὐδένας ἄλλους, κἂν ἀκούσωσι κιθάρας ὁποιασοῦν, ἐξεστάναι καὶ φρίττειν κατὰ μνήμην τὴν Ὀρφέως ‖ (II) Dio Chrys. 32, 66 ἔλεγε δὲ καὶ περὶ τῶν κιθαρωιδῶν τῶν παρ' ὑμῖν ἕτερον τοιοῦτόν τινα λόγον. τὰ γὰρ ζῶια ἐν τῆι συνουσίαι τῆι πρὸς τὸν Ὀρφέα τὰ μὲν ἄλλα ἥδεσθαι μόνον καὶ ἐκπεπλῆχθαι, μιμεῖσθαι δὲ μηδὲν ἐπιχειρεῖν· τῶν κυνῶν δὲ ἐνίους, οἷα δὴ γένος ἀναιδὲς καὶ περίεργον ἐπιθέσθαι τῆι μουσικῆι, καὶ μελετᾶν τότ' εὐθὺς ἀπιόντας καθ' αὑτοὺς καὶ τὰ εἴδη μεταβαλόντας εἰς ἀνθρώπους διαφυλάττειν τὴν ἐπιμέλειαν. εἶναι δὲ τοῦτο αὐτὸ τὸ γένος τῶν κιθαρωιδῶν· διὸ μὴ δύνασθαι παντάπασιν ἐκβῆναι τὴν αὑτῶν φύσιν, ἀλλὰ μικρὸν μέν τι διασώιζειν τῆς Ὀρφέως διδασκαλίας, τὸ πολὺ δ' αὐτοῖς ἐμμένειν κύνειον τοῦ μέλους.

1069 T

(I) Zenob. prov. (coll. Milleri 3, 1: Mél. p. 369) ἀμουσότερος Λειβηθρίων· Λειβήθριοι ἔθνος ἐστὶ Πιερικόν, οὗ καὶ Ἀριστοτέλης μέμνηται ἐν τῆι Μεθωναίων πολιτείαι (fr. 552 Rose). λέγονται δὲ ἀμουσότατοι εἶναι οἱ Λειβήθριοι, ἐπειδὴ παρ' αὐτοῖς ἐγένετο ὁ τοῦ Ὀρφέως θάνατος ‖ (II) Zenob. 1, 79 (Paroem. Gr. I 27, 6) ἀμουσότερος Λειβηθρίων: ἐπὶ τῶν ἀμούσων καὶ ἀπαιδεύτων. Λειβήθριοι γὰρ ἔθνος Πιερικόν ἐστιν, οὔτε μέλους ἁπλῶς οὔτε ποιήματος ἔννοιαν λαμβάνον. λέγονται δὲ ἀμουσότατοι εἶναι, ἐπειδὴ παρ' αὐτοῖς ὁ τοῦ Ὀρφέως ἐγένετο θάνατος.

Orphei funus et sepulcrum (frr. 1070-1073)

de loco ubi Orpheus sepultus sit inter se dissentiunt scriptores:

1) in Macedonia: Pieriae sec. Apollodor. 1, 3, 2, (fr. 1035 I) καὶ τέθαπται (sc. Ὀρφεύς) περὶ τὴν Πιερίαν | Libethris sec. Eratosth. Catast. 24 (ex Aeschylo?), cf. fr. 1070; vid. et. Conon. ap. Phot. Bibl. 186, 140a 31 (fr. 1039) qui, quamquam

add. Reiske ‖ **14** αὖθις Emperius : εὐθὺς libri ‖ **15** Ἀλέξανδρον **UB** ‖ **16** 'malim κἂν ἀκούσηι propter κοῦφον etc.' Arnim ‖ **18** ἕτερον Reiske : ὕστερον libri ‖ **22** 'fortasse κᾆιτα ἤδη' Arnim | μεταβαλόντας Reiske : μεταβαλόντα **UB** : μεταβάλλοντα **M** : μεταβαλλόντα **T**

1069 cf. Apostol. 2, 67; Spyridonidou-Skarsouli, Der Erste Teil der fünften Athos-Sammlung griechischer Sprichwörter, Berlin-New York 1995, 39 b, p. 314ss ‖ **1** Λειβηθρίων edd. : Λειβήθριον cod. ‖ **2** Πιερικόν edd. : Περσικόν **Schott.** : Θράκιον aut Περσικὸν Huetius

de sepulcro silet, Orphei mortem ἐν Λιβήθροις accidisse asserit | in urbe Dio sec. Paus. 9, 30, 7 (fr. 934 II) Μακεδόνων δὲ οἱ χώραν τὴν ὑπὸ τὸ ὄρος τὴν Πιερίαν ἔχοντες καὶ πόλιν Δῖον φασὶν ὑπὸ τῶν γυναικῶν γενέσθαι τὴν τελευτὴν ἐνταῦθα τῶι Ὀρφεῖ· ἰόντι δὲ ἐκ Δίου τὴν ἐπὶ τὸ ὄρος ... κίων τέ ἐστιν ἐν δεξιᾶι καὶ ἐπίθημα ἐπὶ τῶι κίονι ὑδρία λίθου, ἔχει δὲ τὰ ὀστᾶ τοῦ Ὀρφέως ἡ ὑδρία, καθὰ οἱ ἐπιχώριοι λέγουσι, cf. et. Diog. Laert. 1, 5 (fr. 1073 III) τοῦτον δὲ ὁ μὲν μῦθος ὑπὸ γυναικῶν ἀπολέσθαι φησί· τὸ δὲ ἐν Δίωι τῆς Μακεδονίας ἐπίγραμμα, κεραυνωθῆναι αὐτόν, at Paus. 9, 30, 9 (fr. 1055) narrat Orphei sepulchrum prius in Libethriis fuisse. vid. et. Liban. Declam. 1, 182, Himer. Or. 46, 18 (fr. 1064 I-II)

2) in Thracia sec. Damagetum, Anth. Pal. 7, 9 (fr. 1071), cf. et. Paus. 9, 30, 6 = fr. 1065 II λέγουσι δὲ οἱ Θρᾶικες, ὅσαι τῶν ἀηδόνων ἔχουσι νεοσσιὰς ἐπὶ τῶι τάφωι τοῦ Ὀρφέως, Epigr. ap. Alcidam. Ulix. 24 (fr. 1073 I) Μουσάων πρόπολον τῆιδ' Ὀρφέα Θρήικες ἔθηκαν, et Aristot. fr. 640, 48 Rose (fr. 1073 II) ἐπὶ Ὀρφέως κειμένου ἐν Κικωνίαι· Θρήϊκα ... / Ὀρφέα ... θέσαν Κίκονες

3) in Lesbo sec. Hygin. Astr. 2, 7 (fr. 1054 VII) *fluctibus in insulam Lesbum est reiectum; quod ab his sublatum et sepulturae est mandatum,* cf. Schol. German. Arat. fr. 1072 I-II), vid. et. Myrsil. ap. Antig. Caryst. Hist. Mir. 5 (fr. 1065 I) (FGrHist 477 F 2) δείκνυται δὲ ὁ τάφος ... τῆς τοῦ Ὀρφέως κεφαλῆς

de re cf. Graf in: Bremmer (ed.), Interpretations of Greek mythology, London-Sydney 1987, 86ss

Libethris vel in Thracia sepultus

1070 T (T 113 K., 4 [B 2] C.)

Eratosth. Catast. 24 (140 Rob.), cf. Fragmenta Vaticana 24, ed. Rehm, Ansbach 1899, pergit fr. 1033 I αἱ δὲ Μοῦσαι συναγαγοῦσαι ἔθαψαν ἐπὶ τοῖς λεγομένοις Λειβήθροις. sequitur fr. 1074 I.

1070 **3** λεγομένοις] καλουμένοις Epit. Vatic. | Λιβήθροις Epit. Vatic. | cf. fr. 1072

1071 T (T 126 K.)

DAMAGETUS Anth. Pal. 7, 9 (= n. 2, 1379-1386 Gow-Page)

Ὀρφέα Θρηϊκίηισι παρὰ προμολῆισιν Ὀλύμπου
 τύμβος ἔχει, Μούσης υἱέα Καλλιόπης,
ὧι δρύες οὐκ ἀπίθησαν, ὅτωι συνάμ' ἕσπετο πέτρη
 ἄψυχος θηρῶν θ' ὑλονόμων ἀγέλα,
ὅς ποτε καὶ τελετὰς μυστηρίδας εὕρετο Βάκχου
 καὶ στίχον ἡρώιωι ζευκτὸν ἔτευξε ποδί,
ὃς καὶ ἀμειλίκτοιο βαρὺ Κλυμένοιο νόημα
 καὶ τὸν ἀκήλητον θυμὸν ἔθελξε λύραι.

in Lesbo vel in incerto loco sepultus

1072 T

(I) SCHOL. German. Arat. BP (84, 12 Breysig = 140 Rob.), *pergit fr. 1033 II* recollectis membris sepelierunt in Lezbiis montibus. *sequitur fr. 1074 III* || (II) SCHOL. German. Arat. SV (152, 2 Breysig), *pergit fr. 1033 III* collectisque membris sepelierunt in Lesbiis montibus. *sequitur fr. 1074 IV* || (III) SCHOL. German. Arat. G (p. 152, 15 Breysig = 141 Rob.), *pergit fr. 1033 IV* et in inferioribus sepultus est || (IV) ARAT. LAT. p. 232a, 8 Maass, *pergit fr. 1033 V* et membra discerpta sepelierunt in inferioribus.

1071 vv. 1-2 ἔχει trad. Suda s. v. προμολῆισιν (IV 215, 1 Adler), vv. 3-4 ἄψυχος s. vv. ἀπειθῶ (I 280, 9 A.) et ἀπίθανον (I 287, 5 A.); vv. 7-8 Suda s. vv. ἀκήλητον (I 81, 2 Adler) et Κλύμενος (III 138, 12 A.) || **1** Θρηϊκίηισι] γρ. Ὀρφέα Πιερικοῖο **C** in mg., de quo cf. Gow-Page ad loc. 225 || **2** υἱέα καὶ **P**^{1} || **4** ὑλανόμων **P** | ἀγέλαν **P**^{1} : ἀγέλη Pl. schol. || **5** ὅπποτε **P** || **6** ἡρώων **P**^{1} || **7** Κλυμένοιο] 'this name for Pluto occurs first in Lasus of Hermione (fr. 1) and there was a cult of Clymenus in his native town (Paus. 2, 35, 9)' Gow-Page 225, qui cfnt. Aristodic. 774 n., Callim. fr. 285 Pf. | plane de Orpheo apud inferos agitur || **8** ἀκήλητον] ἀμείλικτον Pl. ante ras., Suda s. v. Κλύμενος | λύρηι Pl. schol. : λύραις **P**

1072 **2** *post* membris *add.* Musae eum *Breysig* (*iterum l. 3*) | Letbiis *mut. in* Lezbiis **P** : †Lesbiis *Breysig* : Libethris *suspicatur e Catast. Breysig, prob. Rob.* || **3-4** menbris **S** || **4** eius sepelirent eum **V** | †Lesbiis *Breysig* || **5** inferriorib$_3$ **G**^{a}**G**^{b} || **6** est *om.* **G** | <Musae> *ante* membra *add. Maass* || **7** inferioribus = τοῖς Λειβήθροις *sec. Maass*

epitaphia (fr. 1073)

1073 T (T 123 + 124 +125 K., 4 [B 6] C.)

(I) Alcidam. Ulix. 24 (p. 32 Avezzù = 30 Muir), quae praecedunt vid. in fr. 1027 ὡς καὶ ἐπὶ τῶι μνήματι αὐτοῦ (sc. Ὀρφέως) δηλοῖ τὰ ἐπιγράμματα (Anth. Gr. App. Ep. sepulcr. 148, 1)·

Μουσάων πρόπολον τῆιδ' Ὀρφέα Θρῆικες ἔθηκαν,
ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει
Οἰάγρου φίλον υἱόν, ὃς Ἡρακλῆ' ἐδίδαξεν,
εὑρὼν ἀνθρώποις γράμματα καὶ σοφίην. sequitur Lin. fr. 62 II ||

(II) Aristot. Veterum heroum epitaphia (fr. 640 Rose) 48 ἐπὶ Ὀρφέως κειμένου ἐν Κικονίαι·

Θρήϊκα χρυσολύραν Οἰάγρου παῖδα θανόντα
Ὀρφέα ἐν χώρωι τῶιδε θέσαν Κίκονες ||

(III) Diog. Laert. 1, 5, quae praecedunt vid. in fr. 1046 II τοῦτον δὲ ὁ μὲν μῦθος ὑπὸ γυναικῶν ἀπολέσθαι φησί· τὸ δὲ ἐν Δίωι τῆς Μακεδονίας ἐπίγραμμα, κεραυνωθῆναι αὐτόν, λέγον οὕτως (Anth. Pal. 7, 617= Lobo Argiv. Suppl. Hell. 508 Lloyd-Jones–Parsons)·

Θρήϊκα χρυσολύρην τῆιδ' Ὀρφέα Μοῦσαι ἔθαψαν,
ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει.

lyra inter sidera constituta (frr. 1074-1075)

cf. Lucian. De astrol. 10 (fr. 418)

1073 2 τὰ post καὶ transp. Ξ Ald., Reiske, Bekker | αὐτῶι **Co** | τὰ ἐπιγράμματα] 'it may have been composed about 431 b. C. as a bit of propaganda to mollify the Thracians' Linforth 15s; cf. et. eund., Trans. Am. Phil. Ass. 62, 1931, 5ss; Kleingünther, Πρῶτος εὑρετής, Leipzig 1933, 38s; Coman, Orphée, civilisateur de l'humanité, Paris 1939, 30ss; Avezzù ad loc. p. 82; Harding, Androtion and the Atthis, Oxford 1994, 181; Muir ad loc. p. 82s || **4** Θράικες **A** Blass || **5** Ζεὺς ψολόεντι βέλει **BuE** Ald., Reiske, Bekker, Sauppe, Blass, Kern, Colli (cf. Anth. Pal. 7, 617 [III]) : Ζεὺς (που add. **A** Radermacher) ψολόεντι κεραυνῶι (βαλὼν $\mathbf{Am}_4$) **AΞ**$\mathbf{Am}_4^{\gamma\rho}$ || **6** ὑάγρου **A** | Ἡρακλῆ' (-ῆα **A** : -ῆν Ald.) ἐδίδαξεν (ἐξ- **A** p.c.) **A** Ald., Reiske, Wil. : Ἡρακλῆ ἐξεδίδαξεν **Ξ** Bekker, Sauppe, Blass, Radermacher || **10** χρυσολύραν Stephanus : χρυσόλυραν cod. || **13** φασὶ **F** || **16-17** epigramma compositum e I et II animadvertit Guthrie, Orpheus 35, 65s adn. 11 (qua de causa 'Diogenes' assertion ... cannot be taken as evidence that the ... epigram was set up in Dion' Linforth, Trans. Am. Phil. Ass. 62, 1931, 6s; cf. aliter Preger, Inscr. Graec. Metr., Leipzig 1891, n. 26); vid. et. Maass, Orpheus 141; Rob., Heldens., I, 409 adn. 3 || **17** ὑψημέδης **F**

1074 T (T 136 K.)

(I) ERATOSTH. Catast. 24 (140 Rob.), cf. Fragmenta Vaticana 24, ed. Rehm, Ansbach 1899, pergit fr. 1070 τὴν δὲ λύραν οὐκ ἔχουσαι ὅτωι δώσειν τὸν Δία ἠξίωσαν καταστερίσαι, ὅπως ἐκείνου τε καὶ αὐτῶν μνημόσυνον τεθῆι ἐν τοῖς ἄστροις· τοῦ δὲ ἐπινεύσαντος οὕτως ἐτέθη· ἐπισημασίαν δὲ ἔχει ἐπὶ τῶι ἐκείνου συμπτώματι δυομένη καθ' ὥραν ‖ (II) SCHOL. BP Arat. 269 (212, 14 Martin), pergit fr. 975 VI καὶ μετὰ θάνατον αὐτοῦ (sc. Ὀρφέως) τὴν λύραν αἱ Μοῦσαι ἔδωκαν Μουσαίωι (fr. 26 I) ἀξιώσαντι τὸν Δία ὅπως αὐτοῦ μνημόσυνον εἴη ἐν τοῖς ἄστροις ‖ (III) SCHOL. German. Arat. BP (84, 13 Breysig = 140 Rob.), *pergit fr. 1072 I* eiusque lyram Musaeo (*fr. 26 II*) dederunt Iovemque rogavere, ut eius memoriam astris inferret ‖ (IV) SCHOL. German. Arat. SV (152, 3 Breysig), *pergit fr. 1072 II* eiusque lyram Musaeo (*fr. 26 III*) dederunt Iovemque rogaverunt, ut eius memoriam astris inferret ‖ (V) HYGIN. Astr. 2, 7, *pergit fr. 1034* Musas autem collecta membra sepulturae mandasse et lyram quo maxime potuerant beneficio, illius memoriae causa figuratam stellis inter sidera constituisse, Apollinis et Iovis voluntate, quod Orpheus Apollinem maxime laudaret; Iuppiter autem filiae beneficium concessit ‖

(VI) MANIL. Astron. 1, 324-327

et Lyra diductis per caelum cornibus inter
sidera conspicitur, qua quondam ceperat Orpheus
omne quod attigerat cantu, manesque per ipsos
fecit iter domuitque infernas carmine leges ‖

1074 cf. Lambardi in: Munus amicitiae, Scritti in memoria di A. Ronconi, Firenze 1986, I, 146ss; Paterlini, Septem discrimina vocum, Orfeo e la musica delle sfere, Bologna 1992 ‖ **(I)** lectiones ex editione sua inedita mihi comiter praebuit Pàmias ‖ **2** τὴν δὲ λύραν – **4** ἄστροις om. Epit. Vatic. ‖ **2** δώσειαν Struve : δώσειεν Westermann, Matthiae ‖ **3** καταστερίσειν **E** : καταστερίζειν edd. plerique | αὐτῶν Maass ‖ **4** δὲ[1]] δ' Epit. Vatic. | post δὲ ἔχει add. ἐν τῶι κοινῶς omissis ceteris Epit. Vatic. ‖ **4-5** ἐπὶ τῶι ἐκείνου συμπτώματι post καθ' ὥραν transp. Heyne ‖ **(II-V) 6** αὐτὴν **VU** ‖ **6-7** τὴν λύρ. αἱ Μοῦσ. ἔδ. **M** : αἱ Μοῦσ. τὴν λύρ. ἔδ. **S** : αἱ Μοῦσ. om. **DΔKVUA** ‖ **7** ἔδωκεν **DΔ** : ἔδωκε **KA** : δέδωκε **VU** | οὗ ἀξιώσαντος λόγος **K** : οὗ ἀξιώσαντος **A** : fort. ἀξιώσασαι Rob. vel καὶ ἠξίωσαν Martin, coll. Catast. 24 τὸν Δία ἠξίωσαν καταστερίζειν κτλ | post Δία add. ταύτην καταστερίσαι **K** | post οὗ ἀξιώσαντος add. ὁ Ζεὺς αὐτὴν κατηστέρισεν **A** | αὐτοῦ] 'i.e. τοῦ Ὀρφέως' Martin ‖ **7-8** μνεία **DΔ** : μνημόσυνα **K** ‖ **8** εἴη] ἦ **KVUS** | καὶ ἐν **S** ‖ **9-10** rogaverunt **P** ‖ **11** eius liram **V** | Musaeo *Breysig* : Museo **SV** ‖ **12** inferrent **V** ‖ **13** qua **R** *p.c.* : quod **L** *a.c.* ‖ **14** potuerunt **NLAE** : potuerat **P** | causam **AE** | figuram tam **δ** ‖ **15** quod] quorum **αL** *a.c.* **δη** | Apollonem **B** *a.c.* ‖ **15-16** laudavit **R** *p.c.* ‖ **16** autem *om.* **P** | filio **M** *a.c.* **P** *p.c.* **Fδη** | beneficio **P** ‖ **(VI-VII)** cf. Liuzzi ad locc. ‖ **(VI) 324** deductis **O** ‖ **326** manensque

(VII) Manil. Astron. 5, 324-328
nunc surgente Lyra testudinis enatat undis
forma per heredem tantum post fata sonantis,
qua quondam somnumque fretis Oeagrius Orpheus
et sensus scopulis et silvis addidit aures
et Diti lacrimas et morti denique finem ||
(VIII) Avien. Phaen. 626 -635, *pergit fr. 977 I*
at cum
impia Bassaridum carpsisset dextera vatem
et devota virum tegerent Libethra peremptum,
intulit hanc caelo miseratus Iuppiter artem
praestantis iuvenis, pecudes qui et flumina vates
flexerat. Adnixi qua semet sidera porro
sustollunt, laevum propter Chelys haec femur adstat.
advolat ast aliud latus Ales et ora canoros
tenditur ad nervos: media est Lyra sede dicata,
Cygneo capiti et curvo contermina signo. ||
(IX) Isidor. Orig. 3, 22, 9 Lindsay, *pergit fr. 977 II* hanc musici propter studii amorem et carminis laudem etiam inter sidera suarum fabularum conmentis conlocatam esse finxerunt.

1075 (T 137 K.)

Hygin. Astr. 2. 6 (*de signo Engonasin*) alii autem Thamyrim a Musis excaecatum, ut supplicem ad genua iacentem dicunt, alii Orphea a Thraciis mulieribus interfici, quod viderit Liberi Patris initia.

L : manansque **G** || **(VII) 325** praefata **GL** : profata **V** || **326** sonitumque **GL** : mentemque *Francius teste Iacobo, Bentley* | fretis *Housman* : ferens **O** : feris *Francius teste Iacobo, Bentley* | sonitum referens *Reines.* || **327** census **M** || **(VIII)** *vid. Soubiran ad. loc.* || **627** impia Bassaridum] in quibus saridum **A** || **628** teger// **V**: tegeret **A** | libera. hi a **V** || **629** mi//ratus **V**: miratus **A** || **630** pecudes qui *Morel* : pecudesq(ue) **VAE**: pecudes qua *vett.* || **631** at Nixi *Grotius* : ac Nixi *Breysig* | ponto *Haupt* : *'an* parte *(cf. v. 171, 881)?' Soubiran* || **632** chelis **V** || **633** ast] **V** *non legitur* : om. **A** *in lac.* | aliud latus] laudatus **A** || **634** tunditur **V** (*ut vid.*) **A** | Lyra sede] **V** *vix legitur* : haud aede **A** || **(IX) 1-2** studium **T** || **2** continentis **T** || **3** conlocatum **K**

1075 1 Thamurim **R** *p.c.* : Thamarin (-im **E** *p.c.* **F**) **AE** *p.c.* **F** : Tamarim **E** : Thamirum **Z** | a] in **AE** || **2** ienua **R** : ianuam γ | alii autem **Y** | Tharis **AE** || **3** interfectum **R** *p.c.* **L** | Liberi patris viderit **B**

Orpheus apud inferos, post mortem (fr. 1076-1077)

cf. et. frr. 680; 1001

1076 T (T 138 K., 4 [A 26] C.)

(I) Plat. Apol. 41a (unde Euseb. Praep. Ev. 13, 10, 12, Stob. Flor. 4, 52b, 50 [IV 1094, 2 Hense]) εἰ γάρ τις ἀφικόμενος εἰς Ἅιδου, ἀπαλλαγεὶς τουτωνὶ τῶν φασκόντων δικαστῶν εἶναι, εὑρήσει τοὺς ὡς ἀληθῶς δικαστάς, οἵπερ καὶ λέγονται ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδάμανθυς καὶ Αἰακὸς καὶ Τριπτόλεμος καὶ ἄλλοι ὅσοι τῶν ἡμιθέων δίκαιοι ἐγένοντο ἐν τῶι ἑαυτῶν βίωι, ἆρα φαύλη ἂν εἴη ἡ ἀποδημία; ἢ αὖ Ὀρφεῖ συγγενέσθαι καὶ Μουσαίωι (fr. 46) καὶ Ἡσιόδωι καὶ Ὁμήρωι ἐπὶ πόσωι ἄν τις δέξαιτ' ἂν ὑμῶν; || (II) Procl. in Plat. Remp. II 328, 19 Kroll ἴσως δὲ ἄν τις ἀπορήσειεν, πῶς τῆς ἀπὸ γενέσεως ἐπὶ γένεσιν πρὸ ἀποκαταστάσεως τῶν ψυχῶν τελέας χιλιέτους οὔσης πορείας ὁ τῶν θεαμάτων τούτων ἄγγελος ἰδεῖν φησιν τὴν Ὀρφέως ψυχὴν καὶ τὴν Αἴαντος καὶ τὰς ἄλλας εἰς γένεσιν ἐρχομένας, αἷς οὐκ ἴσος ἦν χρόνος τοῦ τε παρόντος βίου καὶ τοῦ προτέρου καὶ ὅλως οὐδεμιᾶς χιλιοστύος || (III) Tzetz. in Aristoph. Ran. 1116 (1029b 15 Koster) εἰ γὰρ ἐν Ἅιδου νῦν ἀκριβῶς ἔγνω τὸν χορὸν πεφυκέναι, οὐκ ἂν οὕτω τὸν λόγον προήνεγκεν, ὄντων ἐκεῖσε Λίνου (fr. 71), Θαμύριδος, Ὀρφέως, Ὁμήρου, Ἡσιόδου, Μουσαίου (fr. 46 II), Ἀναξαγόρου, Ἐμπεδοκλέους, τῶν ἄλλων ἁπάντων, 'ὧν ὁ κόσμος οὐκ ἔστιν ἀντάξιος'.

1076 cf. et. Procl. in Plat. Remp. I 157, 8; II 312, 16 Kroll (fr. 517 I) et vers. Lat., Cic. Tusc. 1, 98 *ut vero conloqui cum Orpheo Museo Homero Hesiodo liceat, quanti tandem aestimatis?*, vid. et. Linforth 106; Koster, comm. ad III; Bernabé in: Sfameni (ed.), Destino e salvezza, Cosenza 1998, 40; 43s; eund., Ítaca 18, 2002, 62 || **2** τούτων Plat. **βδΠ$_2$** Euseb. Stob. || **3** εὑρήσεις Stob. | ὡς om. Plat. **βδ** Euseb. **DN** || **5** θεῶν Stob. | ἑαυτῷ Stob. **A** || **6** ἀποδ. ἂν εἴη Stob. || **7** ἐπὶ – ὑμῶν om. Stob. | δέξαιτ' ἂν] δέξαιτο Euseb. **BN** || **9** προαποκαταστάσεως|χιλιο-στῆς (in ras. et η ex υ) χιλιοστῆς (ras. post o) cod.

1077 T (T 139 K., 4 [A 43] C.)

(I) Plat. Resp. 620a ἰδεῖν μὲν γὰρ ψυχὴν ἔφη (sc. Er) τήν ποτε Ὀρφέως γενομένην κύκνου βίον αἱρουμένην, μίσει τοῦ γυναικείου γένους διὰ τὸν ὑπ' ἐκείνων θάνατον οὐκ ἐθέλουσαν ἐν γυναικὶ γεννηθεῖσαν γενέσθαι· ἰδεῖν δὲ τὴν Θαμύρου ἀηδόνος ἑλομένην· ἰδεῖν δὲ καὶ κύκνον μεταβάλλοντα εἰς ἀνθρωπίνου βίου αἵρεσιν, καὶ ἄλλα ζῷα μουσικὰ ὡσαύτως II (II) Procl. in Plat. Remp. II 102, 28 Kroll ἐν μὲν γὰρ τοῖς κολαζομένοις ὁ Ἀρδιαῖος παρείληπται, τῶν τις τυραννικῶς βεβιωκότων, ἐν δὲ ταῖς αἱρέσεσι τῶν ψυχῶν οἱ Ὀρφεῖς, οἱ Αἴαντες, οἱ Ὀδυσσεῖς II (III) Procl. in Plat. Remp. II 314, 11 Kroll ὡς εἰ σαφῶς ἔλεγεν ὅσα αἰνίσσεται διὰ τούτων, ἰδεῖν ἂν εἶπεν οἵαν τὴν Ὀρφέως, οἵαν τὴν Θαμύρου ψυχὴν διὰ δή τι πάθος εἰς κύκνους καὶ ἀηδόνας εἰσπηδῶσαν. καὶ τί τὸ πάθος, ἀπὸ τῆς ἑτέρας τούτων ἐνδεικνύμενος μίσει, φησίν, τοῦ γυναικείου γένους, ἵνα μὴ ἐκ γυναικὸς γένηται βίον ἀνθρώπινον ἑλομένη, διὰ δή τι μῖσος εἰς κύκνον ᾤχετο, καὶ μουσικῆς ἔχουσα δυσαπαλλάκτως καὶ τὸ ἀνθρώπειον ἐκκλίνουσα γένος.

Orphei anima in caelum recepta (fr. 1078)

1078 T (T 35 K.)

(I) Anth. Pal. 7, 363, 1-4

†Τετμενάνης ὅδε τύμβος ἐυγλύπτοιο μετάλλου
ἥρωος μεγάλου νέκυος κατὰ σῶμα καλύπτει,
Ζηνοδότου· ψυχὴ δὲ κατ' οὐρανόν, ἧχί περ Ὀρφεύς,
ἧχι Πλάτων, ἱερὸν θεοδέγμονα θῶκον ἐφεῦρεν II

